8 3 ad rhythmorum compositionem (*σύνθεσιν*) et mixtionem (*μῖξιν*) vid. Aristid. Quint. 1, 14–17 (34ss Winn.-Ingr.) et Gent., Metrica greca arcaica, Messina – Firenze 1950, 52ss || 4 ad paeonem epibaton (–́ – –́ –́ –) cf. Aristid. Quint. 1, 16 (37, 7 Winn.-Ingr.) || 9 2 *μόνους* del. Ziegler *νόμους* Wytt., Westphal || 4 ad *Πολυκέφαλον* cf. Pind. Pyth. 12, 23 *ὠνύμασεν κεφαλᾶν πολλᾶν νόμον*, quo Athenae huius nomi auletici inventio tribuitur; cf. etiam Schol. Pyth. 12, 15b et 39c (II 265, 10 et 268, 13 Drachm.) et O. Gamba, Dioniso 6, 1937, 243ss || 6 *μαθητοῦ* add. Ziegler || 10s Olympus iunior vixit temporibus Midae, qui Phrygiae regnavit (742–696 a. C., Euseb.), cf. Test. 1. quod attinet ad Pratinae testimonium vid. Lasserre 45

οἱ δ' οὔ, ἀλλὰ Μαρσύαν· εἶναι δ' αὐτὸν Ὑάγνιδος υἱόν, τοῦ πρώτου εὑρόντος τὴν αὐλητικὴν τέχνην.

de netes synemmenon usu

11 Ps.-Plut. De mus. 19 p. 1137 cd

οὐ μόνον δὲ τούτοις (scil. *τῇ νήτῃ, παρανήτῃ, μέσῃ*), *ἀλλὰ καὶ τῇ συνημμένων νήτῃ οὕτω κέχρηνται πάντες· κατὰ μὲν γὰρ τὴν κροῦσιν αὐτὴν διεφώνουν πρός τε παρανήτην καὶ πρὸς παραμέσην καὶ πρὸς λιχανόν· κατὰ δὲ τὸ μέλος κἂν αἰσχυνθῆναι τὸν χρησάμενον ἐπὶ τῷ γιγνομένῳ δι' αὐτὴν ἤθει. δῆλον δ' εἶναι καὶ ἐκ τῶν Φρυγίων ὅτι οὐκ ἠγνόητο ὑπ' Ὀλύμπου τε καὶ τῶν ἀκολουθησάντων ἐκείνῳ· ἐχρῶντο γὰρ αὐτῇ οὐ μόνον κατὰ τὴν κροῦσιν, ἀλλὰ καὶ κατὰ τὸ μέλος ἐν τοῖς Μητρῴοις καὶ ἐν ⟨ἄλλοις⟩ τισὶ τῶν Φρυγίων.*

de rhythmis ab Olympo adhibitis

12 Ps.-Plut. De mus. 29 p. 1141 b

Πολυμνήστῳ (Test. 7) *δὲ τόν θ' ὑπολύδιον νῦν ὀνομαζόμενον τόνον ἀνατιθέασι, καὶ τὴν ἔκλυσιν καὶ τὴν ἐκβολὴν πολὺ μείζω πεποιηκέναι φασὶν αὐτόν. καὶ αὐτὸν δὲ τὸν Ὄλυμπον ἐκεῖνον, ᾧ δὴ τὴν ἀρχὴν τῆς Ἑλληνικῆς τε καὶ νομικῆς μούσης ἀποδιδόασι, τό τε τῆς ἁρμονίας γένος ἐξευρεῖν φασι, καὶ τῶν ῥυθμῶν τόν τε προσοδιακόν, ἐν ᾧ ὁ τοῦ Ἄρεως νόμος, καὶ τὸν χορεῖον, ᾧ πολλῷ κέχρηται ἐν τοῖς Μητρῴοις· ἔνιοι δὲ καὶ τὸν βακχεῖον Ὄλυμπον οἴονται εὑρηκέναι. δηλοῖ δ' ἕκαστον τῶν ἀρχαίων μελῶν ὅτι ταῦθ' οὕτως ἔχει.*

Fortuna

Olympi numeros paeonem et creticum perfecit Thaletas

13 Glauc. Rheg. FHG II 24 fr. 4 Müller ap. Ps.-Plut. De mus. 10 p. 1134 e

Γλαῦκος γὰρ μετ' Ἀρχίλοχον φάσκων γεγενῆσθαι Θαλήταν, μεμιμῆσθαι μὲν αὐτόν φησι τὰ Ἀρχιλόχου μέλη, ἐπὶ δὲ τὸ μακρότερον ἐκτεῖναι, καὶ Παίωνα καὶ Κρητικὸν ῥυθμὸν εἰς τὴν μελοποιίαν ἐνθεῖναι· οἷς Ἀρχίλοχον

11 8 *Μητρῷα* sunt nomi Magnae Matri Cybelae dicati, quos veri quidem simile videtur ex iisdem rhythmis dactylicis fuisse atque Cybelae Idaeae nomos (Test. 4) | *ἄλλοις* add. W.-Rein. || **12** 2 *πολὺ μείζω* del. W.-Rein. || 5–7 de rhythmis agi videtur qui e colis dactylicis vel prosodiacis et trochaicis constant, i. e. metris quae dactylica-epitrita vel *κατ' ἐνόπλιον* epitrita dicuntur

μὴ κεχρῆσθαι, ἀλλ᾽ οὐδ᾽ Ὀρφέα οὐδὲ Τέρπανδρον· ἐκ γὰρ τῆς Ὀλύμπου αὐλήσεως Θαλήταν φασὶν ἐξειργάσθαι ταῦτα καὶ δόξαι ποιητὴν ἀγαθὸν γεγονέναι.

Olympi nomum Curulem qui dicitur Stesichorus adhibuit

14 Glauc. Rheg. FHG II 23 fr. 3 Müller ap. Ps.-Plut. De mus. 7 p. 1133ef

ὅτι δ᾽ ἐστὶν Ὀλύμπου ὁ Ἁρμάτειος νόμος, ἐκ τῆς Γλαύκου συγγραφῆς τῆς ὑπὲρ τῶν ἀρχαίων ποιητῶν μάθοι ἄν τις, καὶ ἔτι γνοίη ὅτι Στησίχορος ὁ Ἱμεραῖος οὔτ᾽ Ὀρφέα οὔτε Τέρπανδρον οὔτ᾽ Ἀρχίλοχον (Test. 70 Tard.) *οὔτε Θαλήταν ἐμιμήσατο, ἀλλ᾽ Ὄλυμπον, χρησάμενος τῷ Ἁρματείῳ νόμῳ καὶ τῷ κατὰ δάκτυλον εἴδει, ὅ τινες ἐξ Ὀρθίου νόμου φασὶν εἶναι. ἄλλοι δέ τινες ὑπὸ Μυσῶν εὑρῆσθαι τοῦτον τὸν νόμον· γεγονέναι γάρ τινας ἀρχαίους αὐλητὰς Μυσούς.*

15 Eur. Iph. Aul. 573ss

ἔμολες, ὦ Πάρις, ᾗτε σύ γε
βουκόλος ἀργενναῖς ἐτράφης
Ἰδαίαις παρὰ μόσχοις,
βάρβαρα συρίζων, Φρυγίων
αὐλῶν Ὀλύμπου καλάμοις
μιμήματα πνείων.

Veterum iudicia

16 Aristot. Pol. 8 p. 1340a 5ss

τοῦτο δ᾽ ἂν εἴη δῆλον εἰ ποιοί τινες τὰ ἤθη γιγνόμεθα δι᾽ αὐτῆς (scil. *τῆς μουσικῆς*). *ἀλλὰ μὴν ὅτι γιγνόμεθα ποιοί τινες, φανερὸν διὰ πολλῶν μὲν καὶ ἑτέρων, οὐχ ἥκιστα δὲ καὶ διὰ τῶν Ὀλύμπου μελῶν· ταῦτα γὰρ ὁμολογουμένως ποιεῖ τὰς ψυχὰς ἐνθουσιαστικάς, ὁ δ᾽ ἐνθουσιασμὸς τοῦ περὶ τὴν ψυχὴν ἤθους πάθος ἐστίν.*

17 Ps.-Plut. De mus. 18 p. 1137a

καὶ οἱ παλαιοὶ δὲ πάντες, οὐκ ἀπείρως ἔχοντες πασῶν τῶν ἁρμονιῶν, ἐνίαις ἐχρήσαντο. οὐ γὰρ ἡ ἄγνοια τῆς τοιαύτης στενοχωρίας καὶ ὀλιγοχορδίας αὐτοῖς αἰτία γεγένηται, οὐδὲ δι᾽ ἄγνοιαν οἱ περὶ Ὄλυμπον καὶ Τέρπανδρον καὶ οἱ ἀκολουθήσαντες τῇ τούτων προαιρέσει περιεῖλον

14 5 ad nom. Orth. cf. Polymn. Test. 5

τὴν πολυχορδίαν τε καὶ ποικιλίαν. μαρτυρεῖ γοῦν τὰ Ὀλύμπου τε καὶ Τερπάνδρου ποιήματα καὶ τῶν τούτοις ὁμοιοτρόπων πάντων· τρίχορδα γὰρ ὄντα καὶ ἁπλᾶ, διαφέρει τῶν ποικίλων καὶ πολυχόρδων, ὡς μηδένα δύνασθαι μιμήσασθαι τὸν Ὀλύμπου τρόπον, ὑστερίζειν δὲ τού⟨του⟩ (corr. Bern.) *τοὺς ἐν τῷ πολυχόρδῳ τε καὶ πολυτρόπῳ καταγιγνομένους.*

18 Aelian. V. H. 13, 20

ἀνὴρ Μεγαλοπολίτης ἐξ Ἀρκαδίας, Κερκιδᾶς ὄνομα, ἀποθνήσκων ἔλεγε πρὸς τοὺς οἰκείους ἐνθυμούμενος ἡδέως ἀπολύεσθαι τοῦ ζῆν· δι᾽ ἐλπίδος γὰρ ἔχειν συγγενέσθαι τῶν μὲν σοφῶν Πυθαγόρᾳ, τῶν δὲ ἱστορικῶν Ἑκαταίῳ, τῶν δὲ μουσικῶν Ὀλύμπῳ, τῶν δὲ ποιητῶν Ὁμήρῳ.

19 Dion. Chrys. Or. 1, 3 (I 1, 9 Arnim; I 1, 11 De Budé)

ἐπεὶ Σαρδανάπαλλον οὐκ ἄν ποτε ἤγειρεν ἐκ τοῦ θαλάμου καὶ παρὰ τῶν γυναικῶν οὐχ ὅπως Τιμόθεος ἢ ἄλλος τις τῶν νεωτέρων, ἀλλ᾽ οὐδὲ Μαρσύας αὐτὸς ἢ Ὄλυμπος.

20 Maxim. Tyr. 18, 9 (233 Hobein)

τοῦτο καὶ περὶ Σωκράτους Ἀλκιβιάδης ἔλεγεν, εἰκάζων αὐτοῦ τὴν χάριν τοῖς Ὀλύμπου καὶ Μαρσύου αὐλήμασιν.

21 Procl. in Plat. Remp. (I 61 s Kroll)

ἡμεῖς δὲ εὑρόντες ἐν Λάχητι (p. 188d) *λέγοντα σαφῶς αὐτὸν τὸν ἀγαθὸν ἄνδρα εἶναι καὶ ὄντως πεπαιδευμένον τὸν ἁρμοσάμενον ⟨οὐ⟩ λύραν οὐδὲ ὄργανα παιδείας, ἀλλ᾽ αὐτὸν τὴν αὐτοῦ ψυχήν, οὐ φρυγιστὶ οὐδὲ αὖ ἰαστὶ ἢ λυδιστί, ἀλλὰ δωριστί, ἥπερ μόνη ἐστὶν ἁρμονία Ἑλληνική, ταύτην μὲν αὐτὸν ἡγούμεθα μόνην οἴεσθαι τῶν ἁρμονιῶν ἐν παιδείᾳ ἐξαρκεῖν, τὴν δὲ φρυγιστὶ πρὸς ἱερὰ καὶ ἐνθεασμοὺς ἐπιτηδείαν ὑπάρχειν (ὡς καὶ τοῦτο ἐν Μίνωι λέγει* (p. 318b) *σαφῶς, τὰ Ὀλύμπου μέλη μόνα τοὺς εἰς κατοκωχὴν πεφυκότας κινεῖν ἐξιστάντα, πρὸς δὲ παιδείαν μὴ συντελεῖν).*

De imaginibus

22 Plin. Nat. Hist. 36, 35

eum (*scil.* Apollinem), qui citharam in eodem templo tenet, Timar-

22 ad rem cf. S. Ferri, Plinio il vecchio. Storia dell'arte antica, Roma 1946, 241; E. Nash, Bildlexikon zur Topographie des antiken Rom II, Tübingen 1962, 254

chides fecit, intra Octaviae vero porticus aedem Iunonis ipsam deam Dionysius et Polycles aliam, Venerem eodem loco Philiscus, cetera signa Praxiteles. iidem Polycles et Dionysius, Timarchidis filii, Iovem, qui est in proxima aede, fecerunt, Pana et Olympum luctantes eodem loco Heliodorus . . .

23 Paus. 10, 30, 9

ὑπὲρ τούτου (scil. *Θαμύριδος*) *ἐστὶν ἐπὶ πέτρας καθεζόμενος Μαρσύας, καὶ Ὄλυμπος παρ' αὐτὸν παιδός ἐστιν ὡραίου καὶ αὐλεῖν διδασκομένου σχῆμα ἔχων.*

24 Philostr. Imag. 1, 20s (II 323ss Kayser)

ΣΑΤΥΡΟΙ

Κελαιναὶ μὲν τὸ χωρίον, ὅσον αἵ πηγαὶ καὶ τὸ ἄντρον, ἐκποδὼν δὲ Μαρσύας ἢ ποιμαίνων ἢ μετὰ τὴν ἔριν. μὴ ἐπαίνει τὸ ὕδωρ· καὶ γὰρ εἰ πότιμόν τε καὶ γαληνὸν γέγραπται, ποτιμωτέρῳ ἐντεύξῃ τῷ Ὀλύμπῳ. καθεύδει δὲ μετὰ τὴν αὔλησιν ἁβρὸς ἐν ἁβροῖς ἄνθεσι συγκεραννὺς τὸν ἱδρῶτα τῇ τοῦ λειμῶνος δρόσῳ, καὶ ὁ Ζέφυρος ἐκκαλεῖ αὐτὸν προσπνέων τῇ κόμῃ, ὁ δὲ ἀντιπνεῖ τῷ ἀνέμῳ ἕλκων τὸ ἀπὸ τοῦ στέρνου ἆσθμα, κάλαμοί τε αὐλοῦντες ἤδη παράκεινται τῷ Ὀλύμπῳ καὶ σιδήρια ἔτι, οἷς ἐπιτρυπῶνται οἱ αὐλοί. ἐρῶντες δὲ αὐτοῦ Σατύρων τις ἀγέλη καταθεῶνται τὸ μειράκιον ἐρυθροὶ καὶ σεσηρότες, ὁ μὲν τοῦ στέρνου θιγεῖν δεόμενος, ὁ δὲ ἐμφῦναι τῇ δέρῃ, ὁ δὲ σπάσαι τι ἐπιθυμῶν φίλημα, ἄνθη τε ἐπιπάττουσι καὶ προσκυνοῦσιν ὡς ἄγαλμα, ὁ σοφώτατος δὲ αὐτῶν ἔτι θερμοῦ θατέρου τοῦ αὐλοῦ τὴν γλῶτταν ἀνασπάσας ἐσθίει καὶ τὸν Ὄλυμπον οὕτω φιλεῖν οἴεται, φησὶ δὲ καὶ ἀπογεύσασθαι τοῦ πνεύματος.

ΟΛΥΜΠΟΣ

Τίνι αὐλεῖς, Ὄλυμπε; τί δὲ ἔργον μουσικῆς ἐν ἐρημίᾳ; οὐ ποιμήν σοι πάρεστιν, οὐκ αἰπόλος, οὐδὲ Νύμφαις αὐλεῖς, αἳ καλῶς ἂν ὑπωρχήσαντο τῷ αὐλῷ, μαθὼν δὲ οὐκ οἶδ' ὅ τι χαίρεις τῷ ἐπὶ τῇ πέτρᾳ ὕδατι καὶ βλέπεις ἐς αὐτό. τί μετέχων αὐτοῦ; καὶ γὰρ οὔτε κελαρύζει σοι {καὶ} πρὸς τὸν αὐλὸν {ὑποέσται} (del. Kayser) *οὔτε διαμετροῦμέν σοι τὴν ἡμέραν, οἵ γε βουλοίμεθα ἂν καὶ ἐς νύκτα σε ἀποτεῖναι τὸ αὔλημα. εἰ δὲ τὸ κάλλος ἀνακρίνεις, τοῦ ὕδατος ἀμέλει, ἡμεῖς γὰρ ἱκανώτεροι λέξαι τὰ ἐν σοὶ ἅπαντα· τὸ μὲν ὄμμά σοι χαροπόν, πολλὰ δὲ αὐτοῦ πρὸς τὸν*

23 agitur de Polygnoti picturis quae Delphis erant in Lesche Cnidiorum

αὐλὸν τὰ κέντρα, ὀφρὺς δὲ αὐτῷ περιβέβληται διασημαίνουσα τὸν νοῦν τῶν αὐλημάτων, ἡ παρειὰ δὲ πάλλεσθαι δοκεῖ καὶ οἷον ὑπορχεῖσθαι τῷ μέλει, τὸ πνεῦμα δὲ οὐδὲν ἐπαίρει τοῦ προσώπου ὑπὸ τοῦ ἐν τῷ αὐλῷ εἶναι, ἡ κόμη τε οὐκ ἀργὴ οὔτε κεῖται καθάπερ ἐν ἀστικῷ μειρακίῳ λιπῶσα, ἀλλ' ἐγήγερται μὲν ὑπὸ τοῦ αὐχμοῦ, παρέχεται δὲ αὐχμηρὸν οὐδὲν ἐν ὀξείᾳ καὶ χλωρᾷ τῇ πίτυι. καλὸς γὰρ ὁ στέφανος καὶ δεινὸς ἐπιπρέψαι τοῖς ἐν ὥρᾳ, τὰ δὲ ἄνθη παρθένοις ἀναφυέσθω καὶ γυναίοις ἔρευθος ἑαυτὰ ἐργαζέσθω. φημί σοι καὶ τὰ στέρνα οὐ πνεύματος ἔμπλεα εἶναι μόνον, ἀλλὰ καὶ ἐννοίας μουσικῆς καὶ διασκέψεως τῶν αὐλημάτων. μέχρι τούτων σε τὸ ὕδωρ γράφει κατακύπτοντα ἐς αὐτὸ ἀπὸ τῆς πέτρας, εἰ δὲ ἑστηκότα ἔγραφεν, οὐκ ἂν εὐσχήμονα τὰ ὑπὸ τῷ στέρνῳ ἔδειξεν, ἐπιπόλαιοι γὰρ αἱ μιμήσεις τῶν ὑδάτων ὑπὸ τοῦ συνιζάνειν ἐν αὐτοῖς τὰ μήκη. τὸ δὲ καὶ κλύζεσθαί σοι τὴν σκιὰν ἔστω μὲν καὶ παρὰ τοῦ αὐλοῦ τὴν πηγὴν καταπνέοντος, ἔστω δὲ καὶ παρὰ τοῦ Ζεφύρου ταῦτα πάντα, δι' ὃν καὶ σὺ ἐν τῷ αὐλεῖν καὶ ὁ αὐλὸς ἐν τῷ πνεῖν καὶ ἡ πηγὴ ἐν τῷ καταυλεῖσθαι.

alia minoris momenti testimonia hic adnumerantur: Plat. Ion p. 533bc, Leg. 3 p. 677d; Strab. 12, 8, 15 p. 578; Lucian. Adv. ind. 5, Harmonid. 1; Poll. 4, 79 et C. I. L. VI 2078 l. 39 (118 p. C.) = Act. Fratr. Arv. CLIV Henzen *t[abulae apertae] signo signatae quod [e]xprimit Marsy[am et Olympum]*

CLONAS

Tegeaeus vel Thebanus — saec. VII pars prior

TESTIMONIA VITAE ATQVE ARTIS

1 Alex. Polyh. ap. Ps.-Plut. De mus. 5 p. 1133a

Κλονᾶς δ' ὁ τῶν αὐλῳδικῶν νόμων ποιητής, ὁ ὀλίγῳ ὕστερον Τερπάνδρου γενόμενος, ὡς μὲν Ἀρκάδες λέγουσι, Τεγεάτης ἦν, ὡς δὲ Βοιωτοί, Θηβαῖος. μετὰ δὲ Τέρπανδρον καὶ Κλονᾶν Ἀρχίλοχος (Test. 145 Tard.) *παραδίδοται γενέσθαι. ἄλλοι δέ τινες τῶν συγγραφέων Ἄρδαλόν φασι Τροιζήνιον πρότερον Κλονᾶ τὴν αὐλῳδικὴν συστήσασθαι μοῦσαν· γεγονέναι δὲ καὶ Πολύμνηστον ποιητήν* (Test. 4). *περὶ δὲ Κλονᾶ ὅτι τὸν Ἀπόθετον νόμον καὶ Σχοινίωνα πεποιηκὼς εἴη μνημονεύουσιν οἱ ἀναγεγραφότες.* cf. Poll. 4, 79.

2 Heraclid. Pont. fr. 157 Wehrli ap. Ps.-Plut. De mus. 3–4 p. 1132cd

ὁμοίως δὲ Τερπάνδρῳ Κλονᾶν, τὸν πρῶτον συστησάμενον τοὺς αὐλῳδικοὺς νόμους καὶ τὰ προσόδια, ἐλεγείων τε καὶ ἐπῶν ποιητὴν γεγονέναι (scil. *φησὶν Ἡρ. ὁ Ποντ.*), *καὶ Πολύμνηστον τὸν Κολοφώνιον* (Test. 1) *τὸν μετὰ τοῦτον γενόμενον τοῖς αὐτοῖς χρήσασθαι ποιήμασιν.* (4) *Οἱ δὲ νόμοι οἱ κατὰ τούτους, ἀγαθὲ Ὀνησίκρατες, αὐλῳδικοὶ ἦσαν· Ἀπόθετος, Ἔλεγοι, Κωμάρχιος, Σχοινίων, Κηπίων τε καὶ †Δεῖος† καὶ Τριμελής.*

3 Ps.-Plut. De mus. 8 p. 1134ab

τόνων γοῦν τριῶν ὄντων κατὰ Πολύμνηστον (Test. 5) *καὶ Σακάδαν* (Test. 3), *τοῦ τε Δωρίου καὶ Φρυγίου καὶ Λυδίου, ἐν ἑκάστῳ τῶν εἰρημένων τόνων στροφὴν ποιήσαντά φασι τὸν Σακάδαν διδάξαι ᾄδειν τὸν χορὸν Δωριστὶ μὲν τὴν πρώτην, Φρυγιστὶ δὲ τὴν δευτέραν, Λυδιστὶ δὲ τὴν τρίτην· καλεῖσθαι δὲ Τριμελῆ τὸν νόμον τοῦτον διὰ τὴν μεταβολήν. ἐν δὲ τῇ ἐν Σικυῶνι ἀναγραφῇ τῇ περὶ τῶν ποιητῶν* (FGrHist 550 F 2) *Κλονᾶς εὑρετὴς ἀναγέγραπται τοῦ Τριμελοῦς νόμου.*

1 3 ad chronographiam Terpandri et Archilochi nunc vid. A. A. Mosshammer, Calif. Stud. in Class. Ant. 10, 1977, 111ss; A. J. Graham, Ann. Brit. School at Athens 73, 1978, 72ss et Gent., Quad. Urb. n. s. 11 (40), 1982, 9 adn. 11 ‖ 2 ad rem cf. Smyth XXXIV ‖ 6 *Κηπίων Τενέδιος* Amyot *Κηπ. τε καὶ Λεῖος* Wytt. *Κηπ. τε καὶ Λύδιος* Salmasius *Κηπ. τε καὶ Τεῖος* Burette *Κηπ. Ἐπικήδειος* Westphal *Κηπ. καὶ Ἐπικήδειος* W.-Rein. *Κήδειος* Lasserre ‖ 7 *Τριμερής* Xyl. coll. Test. 3, 5ss ‖ 3 5.7 *Τριμερῆ . . . Τριμεροῦς* codd.: corr. Burette coll. Test. 2, 7, probb. W.-Rein., Lasserre

POLYMNESTVS

Colophonius saec. VII

TESTIMONIA VITAE ATQVE ARTIS

Vita et opera

1 Heraclid. Pont. fr. 157 Wehrli ap. Ps.-Plut. De mus. 3 p. 1132c

ὁμοίως δὲ Τερπάνδρῳ Κλονᾶν (Test. 2), *τὸν πρῶτον συστησάμενον τοὺς αὐλῳδικοὺς νόμους καὶ τὰ προσόδια, ἐλεγείων τε καὶ ἐπῶν ποιητὴν γεγονέναι* (scil. *φησὶν Ἡρ. ὁ Ποντ.*), *καὶ Πολύμνηστον τὸν Κολοφώνιον τὸν μετὰ τοῦτον γενόμενον τοῖς αὐτοῖς χρήσασθαι ποιήμασιν.*

Polymnesti carmen Thaletae dicatum

2 Paus. 1, 14, 4

Θάλης δὲ ὁ Λακεδαιμονίοις τὴν νόσον παύσας οὔτε ἄλλως προσήκων οὔτε πόλεως ἦν Ἐπιμενίδῃ τῆς αὐτῆς· ἀλλ' ὁ μὲν Κνώσσιος, Θάλητα δὲ εἶναί φησι Γορτύνιον Πολύμναστος Κολοφώνιος ἔπη Λακεδαιμονίοις ἐς αὐτὸν ποιήσας.

De metris Polymnesti eiusque carminibus quae Polymnastia dicuntur

3 Heraclid. Pont. fr. 157 Wehrli ap. Ps.-Plut. De mus. 3–4 p. 1132cd

ὁμοίως δὲ Τερπάνδρῳ Κλονᾶν (Test. 2), *τὸν πρῶτον συστησάμενον τοὺς αὐλῳδικοὺς νόμους καὶ τὰ προσόδια, ἐλεγείων τε καὶ ἐπῶν ποιητὴν γεγονέναι* (scil. *φησὶν Ἡρ. ὁ Ποντ.*), *καὶ Πολύμνηστον τὸν Κολοφώνιον τὸν μετὰ τοῦτον γενόμενον τοῖς αὐτοῖς χρήσασθαι ποιήμασιν* (Test. 1).

(4) *Οἱ δὲ νόμοι οἱ κατὰ τούτους, ἀγαθὲ Ὀνησίκρατες, αὐλῳδικοὶ ἦσαν· Ἀπόθετος, Ἔλεγοι, Κωμάρχιος, Σχοινίων, Κηπίων τε καὶ †Δεῖος† καὶ Τριμελής· ὑστέρῳ δὲ χρόνῳ καὶ τὰ Πολυμνάστεια καλούμενα ἐξευρέθη.* ad *Πολυμνάστεια* cf. Aristoph. Equ. 1280ss.

2 3 *ἔπη* versus heroicos vel elegiacos vel etiam melicos, cf. Test. 1 || 3 7-8 ad *Κηπ. ... Τριμ.* cf. Clon. Test. 2 || 8 *Πολυμνάστια* codd.: *Πολυμνάστεια* nos, *Πολυμνήστεια* haud recte Herw. coll. Aristoph. l. c., alii. Polymnestus, quamvis Colophonius, carmina Lacedaemone composuit, quamobrem formam Doricam a codd. traditam licet servare. duos Polymnestos, Colophonium et eroticum, antiquos confudisse putavit Kock; sed Polymnestum lasciva carmina cecinisse nemo mirabitur coll. Test. 7, quod tradit modum musicum hypolydium, mollem et lascivum ut perhibent (Plat. Resp. 3 p. 398e), eum invenisse

ἔστιν οὖν ἀδελφὸς αὐτῷ (scil. *Ἀριγνώτῳ*) *τοὺς τρόπους οὐ συγγενής,*
Ἀριφράδης πονηρός. ἀλλὰ τοῦτο μὲν καὶ βούλεται·
ἐστὶ δ' οὐ μόνον πονηρός, οὐ γὰρ οὐδ' ἂν ᾐσθόμην,
οὐδὲ παμπόνηρος, ἀλλὰ καὶ προσεξηύρηκέ τι.
τὴν γὰρ αὑτοῦ γλῶτταν αἰσχραῖς ἡδοναῖς λυμαίνεται,
ἐν κασαυρείοισι λείχων τὴν ἀπόπτυστον δρόσον,
καὶ μολύνων τὴν ὑπήνην καὶ κυκῶν τὰς ἐσχάρας,
καὶ Πολυμνήστεια ποιῶν καὶ ξυνὼν Οἰωνίχῳ

et Schol. ad l. (262 Mervyn Jones-Wilson) *Πολυμνήστεια: μέλη Πολυμνήστου Κολοφωνίου· κιθαρῳδὸς δὲ ἦν οὗτος· Κρατῖνος* (fr. 305 K.). *κωμῳδεῖται δὲ καὶ οὗτος ἐν τοῖς αὐτοῖς. Πολύμνηστος δὲ καὶ Οἰώνιχος ὅμοιοι ἀρρητοποιοί.* Cratin. fr. 305 K. *καὶ Πολυμνήστει' ἀείδει μουσικήν τε μανθάνει.* Hesych. *Πολυμνήστ(ε)ιον ᾄδειν· εἶδός τι μελοποιίας τὸ Πολυμνήστ(ε)ιον. ἦν δὲ Κολοφώνιος μελοποιὸς ὁ Πολύμνηστος, εὐμελὴς πάνυ.* Phot. Lex. II 98 Naber *Πολυμνήστει' ἀείδειν.* Suda s. v. *Πολύμνηστος* (IV 166, 11 Adler) et *Ἀριφράδης* (I 359, 15).

Nomorum auctor

4 Ps.-Plut. De mus. 5 p. 1133 a

ἄλλοι δέ τινες τῶν συγγραφέων Ἄρδαλόν φασι Τροιζήνιον πρότερον Κλονᾶ (Test. 1) *τὴν αὐλῳδικὴν συστήσασθαι μοῦσαν· γεγονέναι δὲ καὶ Πολύμνηστον ποιητήν, Μέλητος τοῦ Κολοφωνίου υἱόν, ὃν †Πολύμνηστόν τε καὶ Πολυμνήστην νόμους† ποιῆσαι.*

5 Ps.-Plut. De mus. 8–10 p. 1134 ad

τόνων γοῦν τριῶν ὄντων κατὰ Πολύμνηστον καὶ Σακάδαν (Test. 3), *τοῦ τε Δωρίου καὶ Φρυγίου καὶ Λυδίου, ἐν ἑκάστῳ τῶν εἰρημένων τόνων στροφὴν ποιήσαντά φασι τὸν Σακάδαν διδάξαι ᾄδειν τὸν χορὸν Δωριστὶ μὲν τὴν πρώτην, Φρυγιστὶ δὲ τὴν δευτέραν, Λυδιστὶ δὲ τὴν τρίτην* (Clon. Test. 3). (9) *ἡ μὲν οὖν πρώτη κατάστασις τῶν περὶ τὴν μουσικὴν ἐν τῇ Σπάρτῃ, Τερπάνδρου καταστήσαντος, γεγένηται· τῆς δὲ δευτέρας Θαλήτας τε ὁ Γορτύνιος καὶ Ξενόδαμος ὁ Κυθήριος καὶ Ξενόκριτος ὁ*

4 3s *ὃν Πολύμνηστον δὲ καὶ Πολυμνήστιον νόμον ποιῆσαι* Volkm. *Πολύμνηστον* del. Pohlenz, qui legit et ⟨*ἄλλους*⟩ *τε καὶ Πολυμνηστίους ν.*, possis *Πολύμνηστον δὲ καὶ Πολυμνάστεια νόμους* || 4 *Πολυμνήστην* Polymnesti sororem intellegunt W.-Rein., aliter censet Lasserre 156: 'les noms-adjectifs *Πολύμνηστος* et *Πολυμνήστης* (scil. *νόμος* ...) résultent visiblement d'une interprétation de *Πολυμνήστεια*' (Test. 3)

Λοκρὸς καὶ Πολύμνηστος ὁ Κολοφώνιος καὶ Σακάδας ὁ Ἀργεῖος (Test. 4) *μάλιστα αἰτίαν ἔχουσιν ἡγεμόνες γενέσθαι . . . ἦσαν δ' οἱ μὲν περὶ Θαλήταν τε καὶ Ξενόδαμον καὶ Ξενόκριτον ποιηταὶ παιάνων, οἱ δὲ περὶ Πολύμνηστον τῶν Ὀρθίων καλουμένων . . .* (10) *καὶ Πολύμνηστος δ' αὐλῳδικοὺς νόμους ἐποίησεν· εἰ δὲ τῷ Ὀρθίῳ νόμῳ ⟨ἐν⟩ τῇ μελοποιίᾳ κέχρηται, καθάπερ οἱ ἁρμονικοί φασιν, οὐκ ἔχομεν {δ'} ἀκριβῶς εἰπεῖν.*

Polymnestus novos modulationis modos adhibuit

6 Ps.-Plut. De mus. 12 p. 1135c

Πολύμνηστος δὲ μετὰ τὸν Τερπάνδρειον τρόπον καινῷ ἐχρήσατο, καὶ αὐτὸς μέντοι ἐχόμενος τοῦ καλοῦ τύπου, ὡσαύτως δὲ καὶ Θαλήτας καὶ Σακάδας (Test. 5)· *καὶ γὰρ οὗτοι κατά γε τὰς ῥυθμοποιίας καινοί, οὐκ ἐκβαίνοντες μέν⟨τοι⟩* (corr. Wytt.) *τοῦ καλοῦ τύπου.*

7 Ps.-Plut. De mus. 29 p. 1141b

Πολυμνήστῳ δὲ τόν θ' ὑπολύδιον νῦν ὀνομαζόμενον τόνον ἀνατιθέασι, καὶ τὴν ἔκλυσιν καὶ τὴν ἐκβολὴν πολὺ μείζω πεποιηκέναι φασὶν αὐτόν.

Fortuna

8 Ps.-Plut. De mus. 5 p. 1133b

τοῦ δὲ Πολυμνήστου καὶ Πίνδαρος (fr. 188 Sn.-Maehl.) *καὶ Ἀλκμὰν* (fr. 225 Calame [145 P.]) *οἱ τῶν μελῶν ποιηταὶ ἐμνημόνευσαν.*

5 11 ad *νομ. Ὀρθ.* cf. Schol. Aristoph. Ach. 16a (8 Wilson) *ὁ δὲ Ὄρθιος αὐλητικὸς νόμος οὕτω καλούμενος διὰ τὸ εἶναι ἔντονον καὶ ἀνάτασιν ἔχειν, ὡς δηλοῖ καὶ Ὅμηρος* (*Λ* 10s) | de Terpandro *νομ. Ὀρθ.* inventore vid. Ps.-Plut. De mus. 28 p. 1140f, Wil., Timotheos, Die Perser, Leipzig 1903, 90ss et B. Gentili – P. Giannini, Quad. Urb. 26, 1977, 35s || 12 *αὐλητικοὺς* W.-Rein. | *ἐν* add. Volkm. || 13 *δ'* del. Volkm., W.-Rein. || 7 1 *Πολυμνάστῳ* codd.: corr. W.-Rein. | ad *ὑπολύδιον* cf. Test. 5, W.-Rein. 112 || 2 ad *ἔκλ.* et *ἐκβ.* cf. Bacch. Geront. Isagog. 41 – 42 (301 – 302 Jan) et Arist. Quint. 1, 11 (28, 4 Winn.-Ingr.)

PERIANDER

Corinthius saec. VII – VI

TESTIMONIA VITAE ATQVE OPERIS

Chronographia

1 Suda s. v. *Περίανδρος* (IV 91, 16ss Adler)

Κυψέλου, Κορίνθιος, τῶν ζ' σοφῶν, γεγονὼς κατὰ τὴν λη' ὀλυμπιάδα (628 a. C.). *ἔγραψεν ὑποθήκας εἰς τὸν ἀνθρώπειον βίον ἔπη ͵β'. οὗτός ἐστι Περίανδρος ὁ διὰ λύπην ἰδίαν ἀποθανών, ὡς καὶ τὸ ἐπ' αὐτῷ ἐπίγραμμα μαρτυρεῖ, οὕτως ἔχον· μήποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινος, ἀλλὰ τέρπεο πᾶσιν ὁμῶς, οἷσι δίδωσι θεός. καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη, οὕνεκεν οὐκ ἔτυχε πρήξιος, ἧς ἔθελεν.* quae sequuntur vid. ad Test. 7, 5ss.

Opus

2 Aristot. Rhet. 1 p. 1375b 27ss

περὶ δὲ μαρτύρων, μάρτυρές εἰσιν διττοί, οἱ μὲν παλαιοὶ οἱ δὲ πρόσφατοι, καὶ τούτων οἱ μὲν μετέχοντες τοῦ κινδύνου οἱ δ' ἐκτός. λέγω δὲ παλαιοὺς μὲν τούς τε ποιητὰς καὶ ὅσων ἄλλων γνωρίμων εἰσὶν κρίσεις φανεραί, οἷον Ἀθηναῖοι Ὁμήρῳ μάρτυρι ἐχρήσαντο περὶ Σαλαμῖνος, καὶ Τενέδιοι ἔναγχος Περιάνδρῳ τῷ Κορινθίῳ πρὸς Σιγειεῖς. cf. Stephan. ad l. (XXI 2, 296, 28 Rabe) *καὶ Περίανδρος δὲ ὁ Κορίνθιος, οὗ καὶ αὐτοῦ πολὺν λόγον ποιεῖται οὗτος ὁ Χαιρωνεὺς ἐν τῷ τῶν ἑπτὰ σοφῶν Συμποσίῳ, σοφώτατος ἦν χιλίων ἐλεγείων ποιητὴς Σόλωνι* (Test. 39) *συνακμάσας.*

3 Athen. 14 p. 632d

ὃς (scil. *Ὅμηρος*) *διὰ τὸ μεμελοποιηκέναι πᾶσαν ἑαυτοῦ τὴν ποίησιν ἀφροντιστὶ {τοὺς} πολλοὺς ἀκεφάλους ποιεῖ στίχους καὶ λαγαρούς, ἔτι δὲ μειούρους. Ξενοφάνης* (Test. 64) *δὲ καὶ Σόλων* (Test. 715 Martina) *καὶ Θέογνις καὶ Φωκυλίδης* (Test. 11), *ἔτι δὲ Περίανδρος ὁ Κορίνθιος ἐλεγειοποιὸς καὶ τῶν λοιπῶν οἱ μὴ προσάγοντες πρὸς τὰ ποιήματα μελῳδίαν ἐκπονοῦσι τοὺς στίχους τοῖς ἀριθμοῖς καὶ τῇ τάξει τῶν μέτρων καὶ σκοποῦσιν ὅπως αὐτῶν μηθεὶς ⟨μήτε⟩ ἀκέφαλος ἔσται μήτε λαγαρὸς μήτε μείουρος.*

1 1 *γεγονὼς*: cf. Test. 9, 52 *ἤκμαζε* || 2 cf. Test. 2, 8 et 9, 41 || **2** 8 *χιλ. ἐλεγ.*: intellige mille disticha elegiaca, cf. Test. 1, 2 et 9, 41 || **3** 2 *τοὺς* del. Mein. || 3s nomina *Ξενοφάνης* et *Περίανδρος ὁ Κορ.* om. CE || 6 post *μέτρων* lac. indicat Kaib., qui vocabulum velut *τελείους* periisse censet || 7 *μήτε* add. Mein.

Vita

4 Herodt. 3, 48ss

(48) *συνεπελάβοντο δὲ τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον ὥστε γενέσθαι καὶ Κορίνθιοι προθύμως. ὕβρισμα γὰρ καὶ ἐς τούτους εἶχε ἐκ τῶν Σαμίων γενόμενον γενεῇ πρότερον τοῦ στρατεύματος τούτου, κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ κρητῆρος τῇ ἁρπαγῇ γεγονός. Κερκυραίων γὰρ παῖδας τριηκοσίους ἀνδρῶν τῶν πρώτων Περίανδρος ὁ Κυψέλου ἐς Σάρδις ἀπέπεμψε παρὰ Ἀλυάττην ἐπ᾽ ἐκτομῇ. προσσχόντων δὲ ἐς τὴν Σάμον τῶν ἀγόντων τοὺς παῖδας Κορινθίων, πυθόμενοι οἱ Σάμιοι τὸν λόγον, ἐπ᾽ οἷσι ἀγοίατο ἐς Σάρδις, πρῶτα μὲν τοὺς παῖδας ἐδίδαξαν ἱροῦ ἅψασθαι Ἀρτέμιδος, μετὰ δὲ οὐ περιορῶντες ἀπέλκειν τοὺς ἱκέτας ἐκ τοῦ ἱροῦ, σιτίων δὲ τοὺς παῖδας ἐργόντων τῶν Κορινθίων, ἐποιήσαντο οἱ Σάμιοι ὁρτήν, τῇ καὶ νῦν ἔτι χρέωνται κατὰ ταὐτά. νυκτὸς γὰρ ἐπιγενομένης, ὅσον χρόνον ἱκέτευον οἱ παῖδες, ἵστασαν χοροὺς παρθένων τε καὶ ἠιθέων, ἱστάντες δὲ τοὺς χοροὺς τρωκτὰ σησάμου τε καὶ μέλιτος ἐποιήσαντο νόμον φέρεσθαι, ἵνα ἁρπάζοντες οἱ τῶν Κερκυραίων παῖδες ἔχοιεν τροφήν. ἐς τοῦτο δὲ τόδε ἐγίνετο, ἐς ὃ οἱ Κορίνθιοι τῶν παίδων οἱ φύλακοι οἴχοντο ἀπολιπόντες· τοὺς δὲ παῖδας ἀπήγαγον ἐς Κέρκυραν οἱ Σάμιοι.* (49) *εἰ μέν νυν Περιάνδρου τελευτήσαντος τοῖσι Κορινθίοισι φίλια ἦν πρὸς τοὺς Κερκυραίους, οἱ δὲ οὐκ ἂν συνελάβοντο τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον ταύτης εἵνεκεν τῆς αἰτίης· νῦν δὲ αἰεὶ ἐπείτε ἔκτισαν τὴν νῆσον εἰσὶ ἀλλήλοισι διάφοροι ἐόντες ὅμαιμοι. τούτων ὦν εἵνεκεν ἀπεμνησικάκεον τοῖσι Σαμίοισι οἱ Κορίνθιοι. ἀπέπεμπε δὲ ἐς Σάρδις ἐπ᾽ ἐκτομῇ Περίανδρος τῶν πρώτων Κερκυραίων ἐπιλέξας τοὺς παῖδας τιμωρεόμενος· πρότεροι γὰρ οἱ Κερκυραῖοι ἦρξαν ἐς αὐτὸν πρῆγμα ἀτάσθαλον ποιήσαντες.* (50) *ἐπείτε γὰρ τὴν ἑωυτοῦ γυναῖκα Μέλισσαν Περίανδρος ἀπέκτεινε, συμφορὴν τοιήνδε οἱ ἄλλην συνέβη πρὸς τῇ γεγονυίῃ γενέσθαι. ἦσάν οἱ ἐκ Μελίσσης δύο παῖδες, ἡλικίην ὁ μὲν ἑπτακαίδεκα, ὁ δὲ ὀκτωκαίδεκα ἔτεα γεγονώς. τούτους ὁ μητροπάτωρ Προκλέης, ἐὼν Ἐπιδαύρου τύραννος, μεταπεμψάμενος παρ᾽ ἑωυτὸν ἐφιλοφρονέετο, ὡς οἰκὸς ἦν θυγατρὸς ἐόντας τῆς ἑωυτοῦ παῖδας. ἐπείτε δέ σφεας ἀπεπέμπετο, εἶπε προπέμπων αὐτούς· 'ἆρα ἴστε, ὦ παῖδες, ὃς ὑμέων τὴν μητέρα ἀπέκτεινε;' τοῦτο τὸ ἔπος ὁ μὲν πρεσβύτερος αὐτῶν ἐν οὐδενὶ λόγῳ ἐποιήσατο· ὁ δὲ νεώτερος, τῷ οὔνομα ἦν Λυκόφρων, ἤλγησε ἀκούσας οὕτω ὥστε ἀπικόμενος ἐς τὴν Κόρινθον ἅτε φονέα τῆς μητρὸς τὸν πατέρα οὔτε προσεῖπε, διαλεγομένῳ τε οὔ τι προσδιελέγετο ἱστορέοντί τε λόγον*

4 de re vid. Giannini 13ss || 2 *ἐς* del. Powell coll. 1, 69, sed cf. Servais 63 adn. 76 || 3 *⟨τρίτῃ⟩ γενεῇ* Panofka coll. Plut. De Herodt. mal. 22 p. 859f | *⟨οὐ⟩ κατὰ* Vollgraff

οὐδένα ἐδίδου. τέλος δέ μιν περιθύμως ἔχων ὁ Περίανδρος ἐξελαύνει ἐκ τῶν οἰκίων. (51) ἐξελάσας δὲ τοῦτον ἱστόρεε τὸν πρεσβύτερον τά σφι ὁ μητροπάτωρ διελέχθη. ὁ δέ οἱ ἀπηγέετο ὥς σφεας φιλοφρόνως ἐδέξατο, ἐκείνου δὲ τοῦ ἔπεος τό σφι ὁ Προκλέης ἀποστέλλων εἶπε, ἅτε οὐ νόῳ λαβών, οὐκ ἐμέμνητο. Περίανδρος δὲ οὐδεμίαν μηχανὴν ἔφη εἶναι μὴ οὔ σφι ἐκεῖνον ὑποθέσθαι τι, ἐλιπάρεέ τε ἱστορέων· ὁ δὲ ἀναμνησθεὶς εἶπε καὶ τοῦτο. Περίανδρος δὲ νόῳ λαβὼν {καὶ τοῦτο} καὶ μαλακὸν ἐνδιδόναι βουλόμενος οὐδέν, τῇ ὁ ἐξελασθεὶς ὑπ᾽ αὐτοῦ παῖς δίαιταν ἐποιέετο, ἐς τούτους πέμπων ἄγγελον ἀπηγόρευε μή μιν δέκεσθαι οἰκίοισι· ὁ δὲ ὅκως ἀπελαυνόμενος ἔλθοι ἐς ἄλλην οἰκίην, ἀπηλαύνετ᾽ ἂν καὶ ἀπὸ ταύτης, ἀπειλέοντός τε τοῦ Περιάνδρου τοῖσι δεξαμένοισι καὶ ἐξέργειν κελεύοντος. ἀπελαυνόμενος δ᾽ ἂν ἤιε ἐπ᾽ ἑτέρην τῶν ἑταίρων· οἱ δὲ ἅτε Περιάνδρου ἐόντα παῖδα, καίπερ δειμαίνοντες, ὅμως ἐδέκοντο. (52) τέλος δὲ ὁ Περίανδρος κήρυγμα ἐποιήσατο, ὃς ἂν ἢ οἰκίοισι ὑποδέξηταί μιν ἢ προσδιαλεχθῇ, ἱρὴν ζημίην τοῦτον τῷ Ἀπόλλωνι ὀφείλειν, ὅσην δὴ εἴπας. πρὸς ὦν δὴ τοῦτο τὸ κήρυγμα οὔτε τίς οἱ διαλέγεσθαι οὔτε οἰκίοισι δέκεσθαι ἤθελε· πρὸς δὲ οὐδὲ αὐτὸς ἐκεῖνος ἐδικαίου πειρᾶσθαι ἀπειρημένου, ἀλλὰ διακαρτερέων ἐν τῇσι στοιῇσι ἐκαλινδέετο. τετάρτῃ δὲ ἡμέρῃ ἰδών μιν ὁ Περίανδρος ἀλουσίῃσί τε καὶ ἀσιτίῃσι συμπεπτωκότα οἴκτιρε· ὑπεὶς δὲ τῆς ὀργῆς ἤιε ἆσσον καὶ ἔλεγε· 'ὦ παῖ, κότερα τούτων αἱρετώτερά ἐστι, ταῦτα τὰ νῦν ἐκὼν πρήσσεις, ἢ τὴν τυραννίδα καὶ τἀγαθὰ τὰ νῦν ἐγὼ ἔχω, ταῦτα ἐόντα τῷ πατρὶ ἐπιτήδεον παραλαμβάνειν; ὃς ἐὼν ἐμός τε παῖς καὶ Κορίνθου τῆς εὐδαίμονος βασιλεὺς ἀλήτην βίον εἵλεο, ἀντιστατέων τε καὶ ὀργῇ χρεώμενος ἐς τὸν σὲ ἥκιστα ἐχρῆν. εἰ γάρ τις συμφορὴ ἐν αὐτοῖσι ἐγγέγονε, ἐξ ἧς ὑποψίην ἐς ἐμὲ ἔχεις, ἐμοί τε αὕτη γέγονε καὶ ἐγὼ αὐτῆς τὸ πλέον μέτοχός εἰμι, ὅσῳ αὐτός σφεα ἐξεργασάμην. σὺ δὲ μαθὼν ὅσῳ φθονέεσθαι κρέσσον ἐστὶ ἢ οἰκτίρεσθαι, ἅμα τε ὁκοῖόν τι ἐς τοὺς τοκέας καὶ ἐς τοὺς κρέσσονας τεθυμῶσθαι, ἄπιθι ἐς τὰ οἰκία.' Περίανδρος μὲν τούτοισι αὐτὸν κατελάμβανε, ὁ δὲ ἄλλο μὲν οὐδὲν ἀμείβεται τὸν πατέρα, ἔφη δέ μιν ἱρὴν ζημίην ὀφείλειν τῷ θεῷ ἑωυτῷ ἐς λόγους ἀπικόμενον. μαθὼν δὲ ὁ Περίανδρος ὡς ἄπορόν τι τὸ κακὸν εἴη τοῦ παιδὸς καὶ ἀνίκητον, ἐξ ὀφθαλμῶν μιν ἀποπέμπεται στείλας πλοῖον ἐς Κέρκυραν· ἐπεκράτεε γὰρ καὶ ταύτης. ἀποστείλας δὲ τοῦτον ὁ Περίανδρος ἐστρατεύετο ἐπὶ τὸν πενθερὸν Προκλέα, ὡς τῶν παρεόντων οἱ πρηγμάτων ἐόντα αἰτιώτατον, καὶ εἷλε μὲν τὴν Ἐπίδαυρον, εἷλε δὲ αὐτὸν Προκλέα καὶ ἐζώγρησε. (53) ἐπεὶ δὲ τοῦ χρόνου προβαίνοντος ὅ τε Περίανδρος παρηβήκεε καὶ συνεγινώσκετο ἑωυτῷ οὐκέτι εἶναι δυνατὸς τὰ πρήγματα ἐπορᾶν τε καὶ διέπειν, πέμψας ἐς τὴν Κέρκυραν ἀπεκάλεε τὸν Λυκόφρονα ἐπὶ τὴν τυραννίδα· ἐν γὰρ δὴ τῷ πρεσβυτέρῳ τῶν παίδων ⟨νόον⟩ οὐκ ἐνώρα, ἀλλά οἱ κατεφαίνετο εἶναι νωθέστερος. ὁ

δὲ Λυκόφρων οὐδὲ ἀνακρίσιος ἠξίωσε τὸν φέροντα τὴν ἀγγελίην. Περίανδρος δὲ περιεχόμενος τοῦ νεηνίεω δεύτερα ἀπέστειλε ἐπ᾽ αὐτὸν τὴν ἀδελφεήν, ἑωυτοῦ δὲ θυγατέρα, δοκέων μιν μάλιστα ταύτῃ ἂν πείθεσθαι. ἀπικομένης δὲ ταύτης καὶ λεγούσης· ʽὦ παῖ, βούλεαι τήν τε τυραννίδα ἐς ἄλλους πεσεῖν καὶ τὸν οἶκον τοῦ πατρὸς διαφορηθέντα μᾶλλον ἢ αὐτός σφεα ἀπελθὼν ἔχειν; ἄπιθι ἐς τὰ οἰκία, παῦσαι σεωυτὸν ζημιῶν. φιλοτιμίη κτῆμα σκαιόν· μὴ τῷ κακῷ τὸ κακὸν ἰῶ. πολλοὶ τῶν δικαίων τὰ ἐπιεικέστερα προτιθεῖσι. πολλοὶ δὲ ἤδη τὰ μητρώια διζήμενοι τὰ πατρώια ἀπέβαλον. τυραννὶς χρῆμα σφαλερόν, πολλοὶ δὲ αὐτῆς ἐρασταί εἰσι, ὁ δὲ γέρων τε ἤδη καὶ παρηβηκώς· μὴ δῷς τὰ σεωυτοῦ ἀγαθὰ ἄλλοισι.᾽ ἡ μὲν δὴ τὰ ἐπαγωγότατα διδαχθεῖσα ὑπὸ τοῦ πατρὸς ἔλεγε πρὸς αὐτόν· ὁ δὲ ὑποκρινόμενος ἔφη οὐδαμὰ ἥξειν ἐς Κόρινθον, ἔστ᾽ ἂν πυνθάνηται περιεόντα τὸν πατέρα. ἀπαγγειλάσης δὲ ταύτης ταῦτα τὸ τρίτον Περίανδρος κήρυκα πέμπει βουλόμενος αὐτὸς μὲν ἐς Κέρκυραν ἥκειν, ἐκεῖνον δὲ ἐκέλευε ἐς Κόρινθον ἀπικόμενον διάδοχον γίνεσθαι τῆς τυραννίδος. καταινέσαντος δ᾽ ἐπὶ τούτοισι τοῦ παιδὸς ὁ μὲν Περίανδρος ἐστέλλετο ἐς τὴν Κέρκυραν, ὁ δὲ παῖς οἱ ἐς τὴν Κόρινθον. μαθόντες δὲ οἱ Κερκυραῖοι τούτων ἕκαστα, ἵνα μή σφι Περίανδρος ἐς τὴν χώρην ἀπίκηται, κτείνουσι τὸν νεηνίσκον. ἀντὶ τούτων μὲν Περίανδρος Κερκυραίους ἐτιμωρέετο.

5 Herodt. 5, 92ζ – 95

(*Κορίνθιος ... Σωσικλέης ἔλεξε τάδε·*) ʽ... *ὁ τοίνυν Περίανδρος κατ᾽ ἀρχὰς μὲν ἦν ἠπιώτερος τοῦ πατρός, ἐπείτε δὲ ὡμίλησε δι᾽ ἀγγέλων Θρασυβούλῳ τῷ Μιλήτου τυράννῳ, πολλῷ ἔτι ἐγένετο Κυψέλου μιαιφονώτερος. πέμψας γὰρ παρὰ Θρασύβουλον κήρυκα ἐπυνθάνετο ὅντινα ἂν τρόπον ἀσφαλέστατον καταστησάμενος τῶν πρηγμάτων κάλλιστα τὴν πόλιν ἐπιτροπεύοι. Θρασύβουλος δὲ τὸν ἐλθόντα παρὰ τοῦ Περιάνδρου ἐξήγαγε ἔξω τοῦ ἄστεος, ἐσβὰς δὲ ἐς ἄρουραν ἐσπαρμένην ἅμα τε διεξήιε τὸ λήιον ἐπειρωτῶν τε καὶ ἀναποδίζων τὸν κήρυκα κατὰ τὴν ἀπὸ Κορίνθου ἄπιξιν, καὶ ἐκόλουε αἰεὶ ὅκως τινὰ ἴδοι τῶν ἀσταχύων ὑπερέχοντα, κολούων δὲ ἔρριπτε, ἐς ὃ τοῦ ληίου τὸ κάλλιστόν τε καὶ βαθύτατον διέφθειρε τρόπῳ τοιούτῳ. διεξελθὼν δὲ τὸ χωρίον καὶ ὑποθέμενος ἔπος οὐδὲν ἀποπέμπει τὸν κήρυκα. νοστήσαντος δὲ τοῦ κήρυκος ἐς τὴν Κόρινθον ἦν πρόθυμος πυνθάνεσθαι τὴν ὑποθήκην ὁ Περίανδρος. ὁ δὲ οὐδέν οἱ ἔφη Θρασύβουλον ὑποθέσθαι, θωμάζειν τε αὐτοῦ παρ᾽ οἷόν μιν ἄνδρα ἀποπέμψειε, ὡς παραπλῆγά τε καὶ τῶν ἑωυτοῦ σινάμωρον, ἀπηγεόμενος τά περ πρὸς Θρασυβούλου ὀπώπεε. Περίανδρος δὲ συνεὶς τὸ ποιηθὲν*

5 16ss ad Periandri crudelitatem cf. Test. 7, 5ss.; 11, 29s; 27, 7

καὶ νόῳ σχὼν ὥς οἱ ὑπετίθετο Θρασύβουλος τοὺς ὑπερόχους τῶν ἀστῶν φονεύειν, ἐνθαῦτα δὴ πᾶσαν κακότητα ἐξέφαινε ἐς τοὺς πολιήτας· ὅσα γὰρ Κύψελος ἀπέλιπε κτείνων τε καὶ διώκων, Περίανδρός σφεα ἀπετέλεε. μιῇ δὲ ἡμέρῃ ἀπέδυσε πάσας τὰς Κορινθίων γυναῖκας διὰ τὴν ἑωυτοῦ γυναῖκα Μέλισσαν. πέμψαντι γάρ οἱ ἐς Θεσπρωτοὺς ἐπ' Ἀχέροντα ποταμὸν ἀγγέλους ἐπὶ τὸ νεκυομαντήιον παρακαταθήκης πέρι ξεινικῆς οὔτε σημανέειν ἔφη ἡ Μέλισσα ἐπιφανεῖσα οὔτε κατερέειν ἐν τῷ κεῖται χώρῳ ἡ παρακαταθήκη· ῥιγοῦν τε γὰρ καὶ εἶναι γυμνή· τῶν γάρ οἱ συγκατέθαψε ἱματίων ὄφελος εἶναι οὐδὲν οὐ κατακαυθέντων· μαρτύριον δέ οἱ εἶναι ὡς ἀληθέα ταῦτα λέγει, ὅτι ἐπὶ ψυχρὸν τὸν ἰπνὸν Περίανδρος τοὺς ἄρτους ἐπέβαλε. ταῦτα δὲ ὡς ὀπίσω ἀπηγγέλθη τῷ Περιάνδρῳ (πιστὸν γάρ οἱ ἦν τὸ συμβόλαιον, ὃς νεκρῷ ἐούσῃ Μελίσσῃ ἐμίγη), ἰθέως δὴ μετὰ τὴν ἀγγελίην κήρυγμα ἐποιήσατο ἐς τὸ Ἥραιον ἐξιέναι πάσας τὰς Κορινθίων γυναῖκας. αἱ μὲν δὴ ὡς ἐς ὁρτὴν ἤισαν κόσμῳ τῷ καλλίστῳ χρεώμεναι, ὁ δ' ὑποστήσας τοὺς δορυφόρους ἀπέδυσέ σφεας πάσας ὁμοίως, τάς τε ἐλευθέρας καὶ τὰς ἀμφιπόλους, συμφορήσας δὲ ⟨τὰ ἱμάτια⟩ ἐς ὄρυγμα Μελίσσῃ ἐπευχόμενος κατέκαιε. ταῦτα δέ οἱ ποιήσαντι καὶ τὸ δεύτερον πέμψαντι ἔφρασε τὸ εἴδωλον τὸ Μελίσσης ἐς τὸν κατέθηκε χῶρον τοῦ ξείνου τὴν παρακαταθήκην ...' ... (94) *Ἱππίῃ δὲ ἐνθεῦτεν* (scil. Lacedaemone) *ἀπελαυνομένῳ ἐδίδου μὲν Ἀμύντης ὁ Μακεδὼν Ἀνθεμοῦντα, ἐδίδοσαν δὲ Θεσσαλοὶ Ἰωλκόν· ὁ δὲ τούτων μὲν οὐδέτερα αἱρέετο, ἀνεχώρεε δὲ ὀπίσω ἐς Σίγειον, τὸ εἷλε Πεισίστρατος αἰχμῇ παρὰ Μυτιληναίων, κρατήσας δὲ αὐτοῦ κατέστησε τύραννον εἶναι παῖδα τὸν ἑωυτοῦ νόθον Ἡγησίστρατον, γεγονότα ἐξ Ἀργείης γυναικός, ὃς οὐκ ἀμαχητὶ εἶχε τὰ παρέλαβε παρὰ Πεισιστράτου. ἐπολέμεον γὰρ ἔκ τε Ἀχιλληίου πόλιος ὁρμώμενοι καὶ Σιγείου ἐπὶ χρόνον συχνὸν Μυτιληναῖοί τε καὶ Ἀθηναῖοι, οἱ μὲν ἀπαιτέοντες τὴν χώρην, Ἀθηναῖοι δὲ οὔτε συγγινωσκόμενοι ἀποδεικνύντες τε λόγῳ οὐδὲν μᾶλλον Αἰολεῦσι μετεὸν τῆς Ἰλιάδος χώρης ἢ οὐ καὶ σφίσι καὶ τοῖσι ἄλλοισι, ὅσοι Ἑλλήνων συνεπρήξαντο Μενέλεῳ τὰς Ἑλένης ἁρπαγάς. πολεμεόντων δέ σφεων παντοῖα καὶ ἄλλα ἐγένετο ἐν τῇσι μάχῃσι,* (95) *ἐν δὲ δὴ καὶ Ἀλκαῖος ὁ ποιητὴς συμβολῆς γενομένης καὶ νικώντων Ἀθηναίων αὐτὸς μὲν φεύγων ἐκφεύγει, τὰ δέ οἱ ὅπλα ἴσχουσι Ἀθηναῖοι καί σφεα ἀνεκρέμασαν πρὸς τὸ*

41 quod ad aetatem Periandri attinet, fere omnes viri docti huius temporis, Belochium secuti, Herodoti testimonium male interpretati sunt; haud dubium est quin Herodotus cum aliis testimoniis congruat (Test. 2 et Strab. 13, 1, 38 p. 600): nam verbum *ἐπολέμεον* omnia amplecti videtur quae evenerunt usque a Pittaci et Alcaei aetate inter Athenienses et Mitylenaeos pro Sigeo pugnantes: vid. praesertim Toepffer 242ss, Crusius 5ss, Servais 39ss, Virgilio 152ss, Musti XX et Giannini 9ss || 47ss cf. Comm. Alc. fr. 306f 17–19 Voigt]*τον Πε*[*ρίανδρον, περὶ Σίγει*]*ον ἐπο*[*λέμησαν*] (suppl. Page, Sappho and Alcaeus 159 adn. 1)

Ἀθήναιον τὸ ἐν Σιγείῳ. ταῦτα δὲ Ἀλκαῖος ἐν μέλεϊ ποιήσας (fr. 401 Bb Voigt) *ἐπιτιθεῖ ἐς Μυτιλήνην ἐξαγγελλόμενος τὸ ἑωυτοῦ πάθος Μελανίππῳ ἀνδρὶ ἑταίρῳ. Μυτιληναίους δὲ καὶ Ἀθηναίους κατήλλαξε Περίανδρος ὁ Κυψέλου· τούτῳ γὰρ διαιτητῇ ἐπετράποντο· κατήλλαξε δὲ ὧδε, νέμεσθαι ἑκατέρους τὴν ἔχουσι. Σίγειον μέν νυν οὕτω ἐγένετο ὑπ᾽ Ἀθηναίοισι.*

6 Heraclid. Lemb. frr. 19–20 Dilts

(19) *Κόρινθος Ἐφύρα πρότερον ἐκαλεῖτο μέχρι Κορίνθου, ἀφ᾽ οὗ τὸ ὄνομα ἔσχεν. ἐβασίλευσε δὲ καὶ Βάκχις τρίτος, χωλὸς καὶ εὐτελὴς τὴν ὄψιν, καλῶς δὲ ἄρχων καὶ πολιτικῶς. ᾧ θυγατέρες μὲν γ', υἱοὶ δὲ ζ', οἳ τὸ γένος οὕτως ηὔξησαν ὥστε Βακχιάδας ἀντὶ Ἡρακλειδῶν καλεῖσθαι τοὺς ἀπ᾽ αὐτῶν.* (20) *Περίανδρος δὲ πρῶτος μετέστησε τὴν ἀρχὴν δορυφόρους ἔχων καὶ οὐκ ἐπιτρέπων ἐν ἄστει ζῆν, ἔτι δὲ δούλων κτῆσιν καὶ τρυφὴν ὅλως περιαιρῶν. μέτριος δὲ ἦν ἐν ἄλλοις, τῷ τε μηδένα τέλος πράσσεσθαι ἀρκεῖσθαί τε τοῖς ἀπὸ τῆς ἀγορᾶς καὶ τῶν λιμένων, καὶ τῷ μήτε ἄδικος μήτε ὑβριστὴς εἶναι, μισοπόνηρος δέ. τὰς δὲ προαγωγοὺς πάσας κατεπόντισε. βουλὴν δὲ ἐπ᾽ ἐσχάτων κατέστησεν, οἳ οὐκ ἐφίεσαν δαπανᾶν πλέον ἢ κατὰ τὰς προσόδους.*

7 Nicol. Damasc. FGrHist 90 F 57–60

(57) ... *Κύψελος δὲ Κορίνθου πράως ἦρχεν οὔτε δορυφόρους ἔχων οὔτ᾽ ἀποθύμιος ὢν Κορινθίοις. βασιλεύσας δὲ ἔτη λ' ἐτελεύτησεν τέσσαρας υἱοὺς καταλιπών, ὧν γνήσιος μὲν ἦν Περίανδρος, οἱ δὲ λοιποὶ νόθοι.* (58) *ὅτι Περίανδρος ὁ Κυψέλου υἱὸς τοῦ βασιλέως Κορίνθου τὴν βασιλείαν παρὰ τοῦ πατρὸς κατὰ πρεσβεῖον παραλαμβάνει καὶ ὑπὸ ὠμότητος καὶ βίας ἐξέτρεψεν αὐτὴν εἰς τυραννίδα καὶ δορυφόρους εἶχε τ'. ἐκώλυέ τε τοὺς πολίτας δούλους κτᾶσθαι καὶ σχολὴν ἄγειν, ἀεί τινα αὐτοῖς ἔργα ἐξευρίσκων. εἰ δέ τις ἐπὶ τῆς ἀγορᾶς καθέζοιτο, ἐζημίου, δεδιὼς μή τι βουλεύοιντο κατ᾽ αὐτοῦ. λέγεται καὶ ἄλλο αὐτὸν ἔργον ἄνομον ἐργάσασθαι, νεκρᾷ τῇ ἑαυτοῦ γυναικὶ μιγέντα ὑπ᾽ ἔρωτος. ἐστρατεύετο δὲ συνεχῶς καὶ ἦν πολεμικός· τριήρεις τε ναυπηγησάμενος ἀμφοτέραις ἐχρῆτο ταῖς θαλάτταις. φασὶ δέ τινες αὐτὸν καὶ τῶν ζ' σοφῶν γεγονέναι· τὸ δὲ οὐκ ἦν.* (59) *ὅτι Περιάνδρῳ τῷ τυράννῳ Κορινθίων γηραιῷ ἤδη ὄντι πάντες οἱ υἱεῖς ἐτελεύτησαν, ὧν Εὐαγόρας μὲν ἀποικίαν εἰς Ποτίδαιαν ἐξαγαγών, Λυκόφρων δὲ τυραννίδα κατασκευαζόμενος παρὰ τοῖς περιοίκοις, Γόργος δὲ ἅρμα ἡνιοχῶν καὶ πεσὼν ἐπὶ τράχηλον,*

52s cf. Strab. l. c. || **6 5ss** cf. Test. 7, 6s || **7 6s** cf. Test. 6, 5ss; 9, 50s

Νικόλαος δέ, ὅσπερ ἐδόκει μετριώτατος εἶναι, ὑπὸ Κερκυραίων δολοφονηθεὶς τρόπῳ τοιῷδε. Περίανδρος βουλόμενος τελευτήσαντος αὐτοῦ μένειν τοῖς ἐκγόνοις τὴν ἀρχὴν καὶ λογιζόμενος ὅτι αὐτῷ μὲν ἐπίθοιντο Κορίνθιοι, Νικόλαον δὲ βασιλεύοντα ἀνάσχοιντο ⟨ἂν⟩ διὰ τὴν ἐπιείκειαν, ἔγνω ἀποχωρήσας αὐτὸς εἰς Κέρκυραν Νικολάῳ παραδοῦναι τὴν Κόρινθον. αἰσθόμενοι δὲ ταῦτα Κερκυραίων τινὲς {τὴν Περιάνδρου γνώμην} καὶ ἐλευθεροῦν τὴν μητρόπολιν θέλοντες τόν τε Περίανδρον, εἰ ἀφίκοιτο, ὀρρωδοῦντες συστάντες κτείνουσι τὸν Νικόλαον διαιτώμενον παρὰ σφίσιν. ὁ δὲ Περίανδρος ἀθροίσας στράτευμα ἐνέβαλεν εἰς Κέρκυραν, καὶ τὴν πόλιν ἑλὼν ν' τοὺς αἰτίους τοῦ φόνου ἀπέκτεινεν, τοὺς δὲ τούτων υἱέας πλείστους ὄντας ἔπεμψε πρὸς Ἀλυάττην τὸν Λυδῶν βασιλέα ἐπ' ἐκτομῇ. οἱ δὲ προσσχόντες Σάμῳ ἱκέται τῆς Ἥρας ἐγένοντο, καὶ αὐτοὺς Σάμιοι αἰσθόμενοι τὸ σύμπαν ἐρρύσαντο. Περίανδρος δὲ Ψαμμητίχῳ Κέρκυραν παραδούς, ὅστις ἦν Γόργου μὲν υἱός, ἀδελφιδοῦς δὲ ἑαυτῷ, ἐπανῆλθεν εἰς Κόρινθον. (60) *ὅτι ἐκδέκτορα τῆς βασιλείας κατέλιπε Περίανδρος Κύψελον τὸν Γόργου παῖδα, τοῦ σφετέρου ἀδελφοῦ, ὃς ἐκ Κερκύρας ἀφικόμενος ἐτυράννευσε Κορίνθου, ἄχρι αὐτὸν συστάντες τινὲς τῶν Κορινθίων ἔκτειναν βραχὺν χρόνον κατασχόντα τὴν τυραννίδα καὶ τὴν πόλιν ἠλευθέρωσαν. ὁ δὲ δῆμος τάς τε οἰκίας τῶν τυράννων κατέσκαψεν καὶ τὰς οὐσίας ἐδήμευσεν ἄταφόν τε ἐξώρισε τὸν Κύψελον καὶ τῶν προγόνων τοὺς τάφους ἀνορύξας τὰ ὀστᾶ ἐξέρριψεν. αὐτὸς δὲ παραχρῆμα †ἐστρατεύσατο πολιτείαν τοιάνδε· μίαν μὲν ὀκτάδα προβούλων ἐποίησεν, ἐκ δὲ τῶν λοιπῶν βουλὴν κατέλεξεν ἀνδρῶν† θ'.*

8 Plut. Sept. sap. conv. 4 p. 150cd

τοιαῦτα μὲν ἐκεῖνοι πρὸς ἀλλήλους ἅμα δειπνοῦντες ἔπαιζον· ἐμοὶ (scil. *Διοκλεῖ*) *δὲ τὸ δεῖπνον εὐτελέστερον ὁρῶντι τοῦ συνήθους ἐννοεῖν ἐπῄει πρὸς ἐμαυτὸν ὡς σοφῶν κἀγαθῶν ἀνδρῶν ὑποδοχὴ καὶ κλῆσις οὐδεμίαν προστίθησι δαπάνην ἀλλὰ συστέλλει μᾶλλον, ἀφαιροῦσα περιεργασίας ὄψων καὶ μύρα ξενικὰ καὶ πέμματα καὶ πολυτελῶν οἴνων διαχύσεις, οἷς καθ' ἡμέραν χρώμενος ἐπιεικῶς ὁ Περίανδρος ἐν τυραννίδι καὶ πλούτῳ καὶ πράγμασι, τότε πρὸς τοὺς ἄνδρας ἐκαλλωπίζετο λιτότητι καὶ σωφροσύνῃ δαπάνης. οὐ γὰρ μόνον τῶν ἄλλων ἀλλὰ καὶ τῆς γυναικὸς ἀφελὼν καὶ ἀποκρύψας τὸν συνήθη κόσμον ἐπεδείκνυε σὺν εὐτελείᾳ καὶ μετριότητι κεκοσμημένην.*

9 Diog. Laert. 1, 94ss

(94) *Περίανδρος Κυψέλου Κορίνθιος ἀπὸ τοῦ τῶν Ἡρακλειδῶν*

27s cf. Test. 4, 4ss

γένους. οὗτος γήμας Λυσίδην, ἣν αὐτὸς Μέλισσαν ἐκάλει, τὴν Προκλέους τοῦ Ἐπιδαυρίων τυράννου καὶ Ἐρισθενείας τῆς Ἀριστοκράτους παιδός, ἀδελφῆς δὲ Ἀριστοδήμου θυγατέρα, οἳ σχεδὸν πάσης Ἀρκαδίας ἐπῆρξαν, ὥς φησιν Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ Περὶ ἀρχῆς (fr. 144 Wehrli), *παῖδας ἐξ αὐτῆς ἐποίησε δύο, Κύψελον καὶ Λυκόφρονα· τὸν μὲν νεώτερον συνετόν, τὸν δὲ πρεσβύτερον ἄφρονα. χρόνῳ δὴ ὑπ' ὀργῆς βαλὼν ὑποβάθρῳ ἢ λακτίσας τὴν γυναῖκα ἔγκυον οὖσαν ἀπέκτεινε, πεισθεὶς διαβολαῖς παλλακίδων, ἃς ὕστερον ἔκαυσε. τόν τε παῖδα ἀπεκήρυξεν εἰς Κέρκυραν λυπούμενον ἐπὶ τῇ μητρί, ᾧ ὄνομα Λυκόφρων.* (95) *ἤδη δὲ ἐν γήρᾳ καθεστὼς μετεπέμπετο αὐτὸν ὅπως παραλάβῃ τὴν τυραννίδα· ὃν φθάσαντες οἱ Κερκυραῖοι διεχρήσαντο. ὅθεν ὀργισθεὶς ἔπεμψε τοὺς παῖδας αὐτῶν πρὸς Ἀλυάττην ἐπ' ἐκτομῇ· προσσχούσης δὲ τῆς νεὼς Σάμῳ, ἱκετεύσαντες τὴν Ἥραν ὑπὸ τῶν Σαμίων διεσώθησαν. καὶ ὃς* (Apollod. FGrHist 244 F 332a) *ἀθυμήσας ἐτελεύτησεν, ἤδη γεγονὼς ἔτη ὀγδοήκοντα. Σωσικράτης δέ φησι* (FHG IV 502 fr. 14 Müller) *πρότερον Κροίσου τελευτῆσαι αὐτὸν ἔτεσι τεσσαράκοντα καὶ ἑνί, πρὸ τῆς τεσσαρακοστῆς ἐνάτης Ὀλυμπιάδος* (584 a.C.). *τοῦτον Ἡρόδοτος ἐν τῇ πρώτῃ* (1, 20) *ξένον φησὶν εἶναι Θρασυβούλῳ Μιλησίων τῷ τυράννῳ.* (96) *φησὶ δὲ Ἀρίστιππος ἐν πρώτῳ Περὶ παλαιᾶς τρυφῆς* (fr. 163 Giannantoni) *περὶ αὐτοῦ τάδε, ὡς ἄρα ἐρασθεῖσα ἡ μήτηρ αὐτοῦ Κράτεια συνῆν αὐτῷ λάθρᾳ· καὶ ὃς ἥδετο. φανεροῦ δὲ γενομένου βαρὺς πᾶσιν ἐγένετο διὰ τὸ ἀλγεῖν ἐπὶ τῇ φωρᾷ. ἀλλὰ καὶ Ἔφορος* (FGrHist 70 F 178) *ἱστορεῖ ὡς εὔξαιτο, εἰ νικήσειεν Ὀλύμπια τεθρίππῳ, χρυσοῦν ἀνδριάντα ἀναθεῖναι· νικήσας δὲ καὶ ἀπορῶν χρυσίου, κατά τινα ἑορτὴν ἐπιχώριον κεκοσμημένας ἰδὼν τὰς γυναῖκας πάντα ἀφείλετο τὸν κόσμον, καὶ ἔπεμψε τὸ ἀνάθημα. λέγουσι δέ τινες ὡς θελήσας αὐτοῦ τὸν τάφον μὴ γνωσθῆναι, τοιοῦτόν τι ἐμηχανήσατο. δυσὶν ἐκέλευσε νεανίσκοις, δείξας τινὰ ὁδόν, ἐξελθεῖν νύκτωρ καὶ τὸν ἀπαντήσαντα ἀνελεῖν καὶ θάψαι· ἔπειτα βαδίζειν ἄλλους τε κατὰ τούτων τέτταρας, καὶ ἀνελόντας θάψαι· πάλιν τε κατὰ τούτων πλείονας. καὶ οὕτως αὐτὸς τοῖς πρώτοις ἐντυχὼν ἀνῃρέθη. Κορίνθιοι δὲ ἐπί τι κενοτάφιον ἐπέγραψαν αὐτῷ τόδε* (Anth. P. 7, 619)·

(97) *πλούτου καὶ σοφίης πρύτανιν πατρὶς ἥδε Κόρινθος*
κόλποις ἀγχιάλοις γῆ Περίανδρον ἔχει.

ἔστι καὶ ἡμῶν (Anth. P. 7, 620)·

9 2 ad Melissam, Periandri uxorem, cf. etiam Test. 4, 24ss; 5, 21ss; Athen. 13 p. 589f; Paus. 2, 28, 8; Plut. Sept. sap. conv. 2 p. 146d. 4 p. 150bd; Non posse suaviter vivi sec. Epic. 26 p. 1104d || **5s** Test. 4, 26ss || **10ss** Test. 4, 72ss || **13s** Test. 4, 4ss || **19ss** Test. 11 || **23ss** Test. 15

μή ποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινος· ἀλλὰ
τέρπεο πᾶσιν ὁμῶς οἷσι δίδωσι θεός.
καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη,
οὕνεκεν οὐκ ἔτυχεν πρήξιος ἧς ἔθελεν.

τούτου ἐστὶ καὶ τὸ μηδὲν χρημάτων ἕνεκα πράττειν· δεῖν γὰρ τὰ κερδαντὰ κερδαίνειν. ἐποίησε δὲ καὶ ὑποθήκας εἰς ἔπη δισχίλια. εἶπέ τε τοὺς μέλλοντας ἀσφαλῶς τυραννήσειν τῇ εὐνοίᾳ δορυφορεῖσθαι, καὶ μὴ τοῖς ὅπλοις. καί ποτε ἐρωτηθεὶς διὰ τί τυραννεῖ, ἔφη 'ὅτι καὶ τὸ ἑκουσίως ἀποστῆναι καὶ τὸ ἀφαιρεθῆναι κίνδυνον φέρει'. ἔλεγε δὲ καὶ τάδε· καλὸν ἡσυχία· ἐπισφαλὲς προπέτεια· κέρδος αἰσχρόν· ⟨***⟩ δημοκρατία κρεῖττον τυραννίδος· αἱ μὲν ἡδοναὶ φθαρταί, αἱ δὲ τιμαὶ ἀθάνατοι· (98) εὐτυχῶν μὲν μέτριος ἴσθι, δυστυχῶν δὲ φρόνιμος· φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι· ὃ ἂν ὁμολογήσῃς, διατήρει· λόγων ἀπορρήτων ἐκφορὰν μὴ ποιοῦ· μὴ μόνον τοὺς ἁμαρτάνοντας, ἀλλὰ καὶ τοὺς μέλλοντας κόλαζε. οὗτος πρῶτος δορυφόρους ἔσχε, καὶ τὴν ἀρχὴν εἰς τυραννίδα μετέστησε· καὶ οὐκ εἶα ἐν ἄστει ζῆν τοὺς βουλομένους, καθά φησιν Ἔφορος (FGrHist 70 F 179) καὶ Ἀριστοτέλης (fr. 516 Rose). ἤκμαζε (Apollod. FGrHist 244 F 332b) δὲ περὶ τὴν τριακοστὴν ὀγδόην Ὀλυμπιάδα (628 a. C.), καὶ ἐτυράννησεν ἔτη τετταράκοντα. Σωτίων (fr. 2 Wehrli) δὲ καὶ Ἡρακλείδης (fr. 145 Wehrli) καὶ Παμφίλη ἐν τῷ πέμπτῳ τῶν Ὑπομνημάτων (FHG III 521 fr. 5 Müller) δύο φασὶ Περιάνδρους γεγονέναι, τὸν μὲν τύραννον, τὸν δὲ σοφὸν καὶ Ἀμβρακιώτην. (99) τοῦτο καὶ Νεάνθης φησὶν ὁ Κυζικηνός (FGrHist 84 F 19), ἀνεψιούς τε εἶναι ἀλλήλοις. καὶ Ἀριστοτέλης μὲν (fr. 517 Rose) τὸν Κορίνθιόν φησιν εἶναι τὸν σοφόν· Πλάτων δὲ (Prot. 343a) οὔ φησιν. τούτου ἐστί· μελέτη τὸ πᾶν. ἤθελε δὲ καὶ τὸν Ἰσθμὸν διορύξαι. φέρεται δὲ αὐτοῦ καὶ ἐπιστολή (I 408 Hercher)·

Περίανδρος τοῖς Σοφοῖς

πολλὰ χάρις τῷ Πυθοῖ Ἀπόλλωνι τοῦ εἰς ἓν ἐλθόντας εὑρεῖν. ἀξοῦντί τε καὶ ἐς Κόρινθον ταὶ ἐμαὶ ἐπιστολαί. ἐγὼν δὲ ὑμᾶς ἀποδέχομαι, ὡς ἴστε αὐτοί, ὅτι δαμοτικώτατα. πεύθομαι ὡς πέρυτι ἐγένετο ὑμῶν ἁλία παρὰ τὸν Λυδὸν ἐς Σάρδεις. ἤδη ὦν μὴ ὀκνεῖτε καὶ παρ' ἐμὲ φοιτῆν τὸν Κορίνθου τύραννον. ὑμᾶς γὰρ καὶ ἄσμενοι ὄψονται Κορίνθιοι φοιτεῦντας ἐς οἶκον τὸν Περιάνδρου.

36ss Test. 1, 4ss || **41** Test. 1, 2; 2, 8 || **43s** cf. Stob. 4, 1 (π. πολιτείας), 79, IV 25s H. || **44ss** Test. 23a || **45** lac. 8 vel 9 litt. indicat F || **50s** Test. 7, 6 || **52s** Test. 1, 1 || **54** Test. 10, 7s τετταράκοντα καὶ ἥμισυ || **59ss** Test. 16 || **60s** Test. 23a || **67ss** cf. Plut. Sol. 4 (= Test. 131b Martina); Sept. sap. conv. 13 p. 156d

Περίανδρος Προκλεῖ

(100) *ἐμὶν μὲν ἀκούσιον τᾶς δάμαρτος τὸ ἄγος· τὺ δὲ ἑκὼν τῷ παιδί με ἄπο θυμοῦ ποιήσαις ἀδικεῖς. ἢ ὦν παῦσον τὰν ἀπήνειαν τῶ παιδός, ἢ ἐγὼν τὺ ἀμυνοῦμαι. καὶ γὰρ δὴν καὶ αὐτὸς ποινὰς ἔτισα τὶν τᾷ θυγατρί, συγκατακαύσαις αὐτᾷ τὰ πασᾶν Κορινθιᾶν εἵματα.* *ἔγραψε δὲ αὐτῷ καὶ Θρασύβουλος οὕτω* (I 787 Hercher)·

Θρασύβουλος Περιάνδρῳ

τῷ μὲν κήρυκι σεῦ οὐδὲν ὑπεκρινάμην· ἀγαγὼν δὲ αὐτὸν ἐς λήιον, τοὺς ὑπερφυέας τῶν ἀσταχύων ῥάβδῳ παίων ἀπεθέριζον, ὁμαρτέοντος ἐκείνου. καί σοι ἀναγγελέει εἰ ἐπέροιο ὅ τι μευ ἀκούσειεν ἢ ἴδοι. σὺ δὲ ποίει οὕτως, ἤν γ᾽ ἐθέλῃς καρτύνασθαι τὴν αἰσυμνητίην· τοὺς ἐξόχους τῶν πολιτέων ἐξαίρειν, ἤν τέ τις ἐχθρός τοι φαίνηται, ἤν τε μή. ὕποπτος γὰρ ἀνδρὶ αἰσυμνήτῃ καὶ τῶν τις ἑτάρων.

10 Aristot. Pol. 5 p. 1313a 34

αἱ δὲ τυραννίδες σῴζονται κατὰ δύο τρόπους τοὺς ἐναντιωτάτους, ὧν ἅτερός ἐστιν ὁ παραδεδομένος καὶ καθ᾽ ὃν διοικοῦσιν οἱ πλεῖστοι τῶν τυράννων τὴν ἀρχήν. τούτων δὲ τὰ πολλά φασι καταστῆσαι Περίανδρον τὸν Κορίνθιον· πολλὰ δὲ καὶ παρὰ τῆς Περσῶν ἀρχῆς ἔστι τοιαῦτα λαβεῖν· ... p. 1315b 22 *δευτέρα δὲ (τυραννίς) περὶ Κόρινθον ἡ τῶν Κυψελιδῶν καὶ γὰρ αὕτη διετέλεσεν ἔτη τρία καὶ ἑβδομήκοντα καὶ ἓξ μῆνας· Κύψελος μὲν γὰρ ἐτυράννησεν ἔτη τριάκοντα, Περίανδρος δὲ τετταράκοντα καὶ ἥμισυ, Ψαμμήτιχος δ᾽ ὁ Γόργου τρία ἔτη. τὰ δ᾽ αἴτια ταὐτὰ καὶ ταύτης· ὁ μὲν γὰρ Κύψελος δημαγωγὸς ἦν καὶ κατὰ τὴν ἀρχὴν διετέλεσεν ἀδορυφόρητος, Περίανδρος δ᾽ ἐγένετο μὲν τυραννικός, ἀλλὰ πολεμικός.* cf. Ps.-Dion. Chrys. Or. 37, 5s (II 18, 1ss Arnim; II 23, 25ss De Budé) *ὁ μὲν (Πεισίστρατος) καταλύσας τὴν δημοκρατίαν ἐτυράννευε τῶν Ἀθηναίων, Περίανδρος δὲ παρὰ τοῦ πατρὸς διαδεξάμενος τὴν βασιλείαν, ὃν οἱ μὲν Ἕλληνες τύραννον ἐκάλουν, οἱ δὲ θεοὶ βασιλέα ... οὕτω δὴ Περίανδρος, ὑπὸ μὲν τοῦ θεοῦ βασιλεύς, ὑπὸ δὲ τῶν Ἑλλήνων ἀνηγορεύθη σοφός· οὗ μεῖζον ὄνομα οὐδεὶς πώποτε βασιλεὺς ἢ τύραννος ἐκτήσατο.* cf. etiam Plut. De superstit. 4 p. 166c

Periandri mater

11 Parth. Narr. Amat. 17

λέγεται δὲ καὶ Περίανδρον τὸν Κορίνθιον τὴν μὲν ἀρχὴν ἐπιεικῆ τε καὶ πρᾶον εἶναι, ὕστερον δὲ φονικώτερον γενέσθαι δι᾽ αἰτίαν τήνδε. ἡ μήτηρ αὐτοῦ κομιδῇ νέου πολλῷ ⟨πόθῳ⟩ κατείχετο· καὶ τέως ⟨μὲν⟩

70ss Test. 4, 27ss || **76ss** Test. 12 || **10 7s** cf. Test. 9, 54

ἀνεπίμπλατο τῆς ἐπιθυμίας περιπλεκομένη τῷ παιδί. προϊόντος δὲ τοῦ χρόνου τὸ πάθος ἐπὶ μεῖζον ηὔξετο καὶ κατέχειν τὴν νόσον οὐκέτι οἵα τε ἦν, ἕως ἀποτολμήσασα προσφέρει λόγους τῷ παιδί, ὡς αὐτοῦ γυνή τις ἐρῴη τῶν πάνυ καλῶν, παρεκάλει τε αὐτὸν μὴ περιορᾶν αὐτὴν περαιτέρω καταξαινομένην. ὁ δὲ τὸ μὲν πρῶτον οὐκ ἔφη φθερεῖν ἐζευγμένην γυναῖκα ὑπό τε νόμων καὶ ἐθῶν, λιπαρῶς δὲ προσκειμένης τῆς μητρὸς συγκατατίθεται. καὶ ἐπειδὴ νὺξ ἐπῆλθεν, εἰς ἣν ἐτέτακτο τῷ παιδί, προεδήλωσεν αὐτῷ μήτε λύχνα φαίνειν ἐν τῷ θαλάμῳ μήτε ἀνάγκην αὐτῇ ἐπάγειν πρὸς τὸ διαλεχθῆναί τι· ἐπιπροσδεῖσθαι γὰρ αὐτὴν ⟨τοῦτο⟩ ὑπ' αἰδοῦς. καθομολογησαμένου δὲ τοῦ Περιάνδρου πάντα ποιήσειν κατὰ τὴν ὑφήγησιν τῆς μητρός, ὡς ὅτι κράτιστα αὐτὴν ἀσκήσασα εἰσέρχεται παρὰ τὸν παῖδα καὶ πρὶν ἢ περιφαίνειν ἕω λαθραίως ἔξεισιν. τῇ δ' ὑστεραίᾳ ἀναπυνθανομένης αὐτῆς, εἰ κατὰ νοῦν αὐτῷ γένοιτο καὶ εἰ αὖτις λέγοι αὐτὴν παρ' αὐτὸν ἀφικέσθαι, ὁ Περίανδρος σπουδάζειν τε ἔφη καὶ ἡσθῆναι οὐ μετρίως. ὡς δὲ ⟨ἐκ⟩ τούτου οὐκ ἀνίει φοιτῶσα πρὸς τὸν παῖδα καί τις ἔρως ἐπῄει τὸν Περίανδρον, ἤδη σπουδὴν ἐτίθετο γνωρίσαι τὴν ἄνθρωπον ἥτις ἦν. καὶ ἕως μέν τινος ἐδεῖτο τῆς μητρὸς ἐξικετεῦσαι ἐκείνην, ὅπως τε εἰς λόγους αὐτῷ ἀφίκοιτο, καὶ ἐπειδὴ εἰς πολὺν πόθον ἐπ⟨αγ⟩άγοιτο αὐτόν, δήλη ποτὲ γένοιτο· νυνὶ δὲ παντάπασι πρᾶγμα ἄγνωμον πάσχειν διὰ τὸ μὴ ἐφίεσθαι αὐτῷ καθορᾶν τὴν ἐκ πολλοῦ χρόνου συνοῦσαν αὐτῷ. ἐπεὶ δὲ ἡ μήτηρ ἀπεῖργεν αἰτιωμένη τὴν αἰσχύνην τῆς γυναικός, κελεύει τινὰ τῶν ἀμφ' αὐτὸν οἰκετῶν λύχνα κατακρύψαι. τῆς δὲ κατὰ τὸ σύνηθες ἀφικομένης καὶ μελλούσης κατακλίνεσθαι ἀναδραμὼν ὁ Περίανδρος ἀναιρεῖ τὸ φῶς καὶ κατιδὼν τὴν μητέρα ὥρμησεν ἐπὶ τὸ διεργάσασθαι αὐτήν. κατασχεθεὶς δὲ ὑπό τινος δαιμονίου φαντάσματος ἀπετράπετο κἀκ τούτου παραπλὴξ ἦν νοῦ τε καὶ φρενῶν κατέσκηψέ τε εἰς ὠμότητα καὶ πολλοὺς ἀπέσφαξε τῶν πολιτῶν. ἡ δὲ μήτηρ πολλὰ κατολοφυραμένη τὸν ἑαυτῆς δαίμονα ἀνεῖλεν ἑαυτήν.
cf. Plut. Sept. sap. conv. 2 p. 146d et Test. 9, 20ss

Periander et Thrasybulus

12 Herodt. 5, 92ζη = Test. 5, 1ss; Diog. Laert. 1, 100 = Test. 9, 75ss

cf. Herodt. 1, 20; Aristot. Pol. 3 p. 1284a 26; 5 p. 1311a 20; Plut. Sept. sap. conv. 2 p. 147c; 3 p. 148ef

Periander et Arion

13 Herodt. 1, 23s

Περίανδρος δὲ ἦν Κυψέλου παῖς, οὗτος ὁ τῷ Θρασυβούλῳ τὸ χρηστή-

11 30 ad Periandri crudelitatem cf. Test. 5, 16ss; 7, 5ss et 27, 7

ριον μηνύσας· ἐτυράννευε δὲ ὁ Περίανδρος Κορίνθου. τῷ δὴ λέγουσι Κορίνθιοι (ὁμολογέουσι δέ σφι Λέσβιοι) ἐν τῷ βίῳ θῶμα μέγιστον παραστῆναι, Ἀρίονα τὸν Μηθυμναῖον ἐπὶ δελφῖνος ἐξενειχθέντα ἐπὶ Ταίναρον, ἐόντα κιθαρῳδὸν τῶν τότε ἐόντων οὐδενὸς δεύτερον, καὶ διθύραμβον πρῶτον ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν ποιήσαντά τε καὶ ὀνομάσαντα καὶ διδάξαντα ἐν Κορίνθῳ. τοῦτον τὸν Ἀρίονα λέγουσι, τὸν πολλὸν τοῦ χρόνου διατρίβοντα παρὰ Περιάνδρῳ, ἐπιθυμῆσαι πλῶσαι ἐς Ἰταλίην τε καὶ Σικελίην, ἐργασάμενον δὲ χρήματα μεγάλα θελῆσαι ὀπίσω ἐς Κόρινθον ἀπικέσθαι. cf. Plut. Sept. sap. conv. 17 p. 160d–19 p. 162b.

Periander et Aesopus

14 Plut. Sept. sap. conv. 4 p. 150ab; 8 p. 152e

ὁ δ' Αἴσωπος (ἐτύγχανε γὰρ ὑπὸ Κροίσου νεωστὶ πρός τε Περίανδρον ἅμα καὶ πρὸς τὸν θεὸν εἰς Δελφοὺς ἀπεσταλμένος καὶ παρῆν ἐπὶ δίφρου τινὸς χαμαιζήλου παρὰ τὸν Σόλωνα καθήμενος ἄνω κατακείμενον) 'ἡμίονος' δ' ἔφη 'Λυδὸς ἐν ποταμῷ τῆς ὄψεως ἑαυτοῦ κατιδὼν εἰκόνα καὶ θαυμάσας τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ σώματος ὥρμησε θεῖν ὥσπερ ἵππος ἀναχαιτίσας. εἶτα μέντοι συμφρονήσας ὡς ὄνου υἱὸς εἴη, κατέπαυσε ταχὺ τὸν δρόμον καὶ ἀφῆκε τὸ φρύαγμα καὶ τὸν θυμόν.' ὁ δὲ Χίλων λακωνίσας τῇ φωνῇ 'καὶ τύνη' ἔφη 'βραδύς, καττρέχεις τὸν ἡμίονον.' 8 p. 152e γελάσας οὖν ὁ Περίανδρος, 'ἔχομεν' εἶπεν, 'Αἴσωπε, τὴν δίκην προσηκόντως, {ὅτι} πρὶν ἢ τοὺς Ἀμάσιδος ⟨ὡς⟩ προειλόμεθα πάντας εἰσαγαγεῖν λόγους εἰς ἑτέρους ἐμπεσόντες. ὅρα δή, Νειλόξενε, τὰ λοιπὰ τῆς ἐπιστολῆς, καὶ χρῶ παροῦσιν ἐν ταὐτῷ τοῖς ἀνδράσιν.'

De Cypselidarum donario

15 Phot. Lex. I 362 Naber Κυψελιδῶν ἀνάθημα

ἐν Ὀλυμπίᾳ . . . ἀλλ' οὐ τῶν Κυψελιδῶν, Κυψέλου δέ φασι τὸ ἀνάθημα, ὡς Ἀγάκλυτος ἐν τῷ περὶ Ὀλυμπίας· φησὶν οὕτως· ναὸς τῆς Ἥρας παλαιός, ἀνάθημα Σκιλλουντίων· οὗτοι δέ εἰσιν Ἠλείων· ἔνεστι δ' ἐν αὐτῷ χρυσοῦς κολοσσός, ἀνάθημα Κυψέλου τοῦ Κορινθίου· φασὶ γὰρ τὸν Κύψελον εὐξάμενον, εἰ Κορινθίων τυραννεύσειε, τὰς οὐσίας πάντων εἰς δέκατον ἔτος ἀνιερώσειν, τὰς δεκάτας τῶν τιμημάτων εἰσπραξάμενον, κατασκευάσαι τὸν σφυρήλατον κολοσσόν. Δίδυμος δὲ κατασκευάσαι τὸν κολοσσόν φησι Περίανδρον ὑπὲρ τοῦ τῆς τρυφῆς καὶ τοῦ θράσους ἐπισχεῖν τοὺς Κορινθίους. cf. Suda s. v. Κυψελιδῶν ἀνάθημα ἐν Ὀλυμπίᾳ (III 223, 25 Adler) et Test. 9, 23ss.

Periander unus de septem sapientibus et fabula tripodis et aurei poculi

16a Diog. Laert. 1, 13

σοφοὶ δὲ ἐνομίζοντο οἵδε· Θαλῆς, Σόλων (Test. 105a Martina), *Περίανδρος, Κλεόβουλος, Χείλων* (Test. 7), *Βίας, Πιττακός* (Test. 18). *τούτοις προσαριθμοῦσιν Ἀνάχαρσιν τὸν Σκύθην, Μύσωνα τὸν Χηνέα, Φερεκύδην τὸν Σύριον, Ἐπιμενίδην τὸν Κρῆτα· ἔνιοι δὲ καὶ Πεισίστρατον τὸν τύραννον. καὶ οἱ μὲν σοφοί.* cf. 1, 40ss; vid. etiam de Periandro Plut. Sol. 12, 7; de Periandro et Pittaco Ps.-Dion. Chrys. Or. 37, 6 (II 18, 12ss Arnim; II 24, 9ss De Budé); Paus. 1, 23, 1; de Periandro, Pittaco, Chilone et Biante Plut. Sept. sap. conv. passim; De E ap. Delph. 3 p. 385de; Paus. 10, 24, 1; Clem. Alex. Strom. 1, 14, 59; Hyg. Fab. 221 Rose; Auson. Lud. sept. sap. passim; Anth. P. 7, 81; Schol. Plat. Tim. p. 20d (280 Greene).

16b Diog. Laert. 1, 27ss

τὰ δὲ περὶ τὸν τρίποδα φανερὰ τὸν εὑρεθέντα ὑπὸ τῶν ἁλιέων καὶ διαπεμφθέντα τοῖς σοφοῖς ὑπὸ τοῦ δήμου τῶν Μιλησίων. (28) *φασὶ γὰρ Ἰωνικούς τινας νεανίσκους βόλον ἀγοράσαι παρὰ Μιλησίων ἁλιέων. ἀνασπασθέντος δὲ τοῦ τρίποδος ἀμφισβήτησις ἦν, ἕως οἱ Μιλήσιοι ἔπεμψαν εἰς Δελφούς· καὶ ὁ θεὸς ἔχρησεν οὕτως·*

ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾷς;
τίς σοφίῃ πάντων πρῶτος, τούτου τρίποδ' αὐδῶ.

διδοῦσιν οὖν Θαλῇ· ὁ δὲ ἄλλῳ καὶ ἄλλος ἄλλῳ ἕως Σόλωνος. ὁ δὲ ἔφη σοφίᾳ πρῶτον εἶναι τὸν θεὸν καὶ ἀπέστειλεν εἰς Δελφούς. ταῦτα δὴ ὁ Καλλίμαχος ἐν τοῖς Ἰάμβοις (fr. 191, 32 Pf.) *ἄλλως ἱστορεῖ, παρὰ Λεανδρίου λαβὼν τοῦ Μιλησίου* (FGrHist 492 F 18). *Βαθυκλέα γάρ τινα Ἀρκάδα φιάλην καταλιπεῖν καὶ ἐπισκῆψαι δοῦναι τῶν σοφῶν ὀνηΐστῳ. ἐδόθη δὴ Θαλῇ καὶ κατὰ περίοδον πάλιν Θαλῇ·* (29) *ὁ δὲ τῷ Διδυμεῖ Ἀπόλλωνι ἀπέστειλεν ... Εὔδοξος δ' ὁ Κνίδιος καὶ Εὐάνθης ὁ Μιλήσιός* (FHG III 2 adn. Müller) *φασι τῶν Κροίσου τινὰ φίλων λαβεῖν παρὰ τοῦ βασιλέως ποτήριον χρυσοῦν, ὅπως δῷ τῷ σοφωτάτῳ τῶν Ἑλλήνων· τὸν δὲ δοῦναι Θαλῇ.* (30) *καὶ περιελθεῖν εἰς Χίλωνα, ὃν πυνθάνεσθαι τοῦ Πυθίου τίς αὐτοῦ σοφώτερος· καὶ τὸν ἀνειπεῖν Μύσωνα, περὶ οὗ λέξομεν. τοῦτον οἱ περὶ τὸν Εὔδοξον ἀντὶ Κλεοβούλου τιθέασι, Πλάτων δ' ἀντὶ Περιάνδρου* (Prot. 343a) ... *Δαΐμαχος δ' ὁ Πλαταιικὸς* (FGrHist 65 F 6) *καὶ Κλέαρχος* (fr. 70 Wehrli) *φιάλην ἀποσταλῆναι ὑπὸ Κροίσου Πιττακῷ καὶ οὕτω περιενεχθῆναι. Ἄνδρων δ' ἐν τῷ Τρίποδι* (FHG II 347 fr. 1 Müller) *Ἀργείους ἆθλον ἀρετῆς τῷ σοφωτάτῳ τῶν Ἑλλήνων*

τρίποδα θεῖναι· κριθῆναι δὲ Ἀριστόδημον Σπαρτιάτην, ὃν παραχωρῆσαι Χίλωνι. (31) ... *ἔνιοι δέ φασιν ὑπὸ Περιάνδρου Θρασυβούλῳ τῷ Μιλησίων τυράννῳ πλοῖον ἔμφορτον ἀποσταλῆναι· τοῦ δὲ περὶ τὴν Κῴαν θάλασσαν ναυαγήσαντος, ὕστερον εὑρεθῆναι πρός τινων ἁλιέων τὸν τρίποδα. Φανόδικος δὲ περὶ τὴν Ἀθηναίων θάλασσαν εὑρεθῆναι καὶ ἀνενεχθέντα εἰς ἄστυ γενομένης ἐκκλησίας Βίαντι πεμφθῆναι* (FGrHist 397 F 4a)· (32) ... *ἄλλοι φασὶν ἡφαιστότευκτον εἶναι αὐτὸν καὶ δοθῆναι πρὸς τοῦ θεοῦ Πέλοπι γαμοῦντι· αὖθίς τε εἰς Μενέλαον ἐλθεῖν καὶ σὺν τῇ Ἑλένῃ ἁρπασθέντα ὑπ' Ἀλεξάνδρου ῥιφῆναι εἰς τὴν Κῴαν θάλασσαν πρὸς τῆς Λακαίνης, εἰπούσης ὅτι περιμάχητος ἔσται. χρόνῳ δὲ Λεβεδίων τινῶν αὐτόθι γρῖπον ὠνησαμένων καταληφθῆναι καὶ τὸν τρίποδα, μαχομένων δὲ πρὸς τοὺς ἁλιέας γενέσθαι τὴν ἄνοδον ἕως τῆς Κῶ· καὶ ὡς οὐδὲν ἤνυτον, τοῖς Μιλησίοις μητροπόλει οὔσῃ μηνύουσιν. οἱ δ' ἐπειδὴ διαπρεσβευόμενοι ἠλογοῦντο, πρὸς τοὺς Κῴους πολεμοῦσι. καὶ πολλῶν ἑκατέρωθεν πιπτόντων ἐκπίπτει χρησμὸς δοῦναι τῷ σοφωτάτῳ· καὶ ἀμφότεροι συνήνεσαν Θαλῇ. ὁ δὲ μετὰ τὴν περίοδον τῷ Διδυμεῖ τίθησιν Ἀπόλλωνι.* (33) *Κῴοις μὲν οὖν τοῦτον ἐχρήσθη τὸν τρόπον·*

> *οὐ πρότερον λήξει νεῖκος Μερόπων καὶ Ἰώνων,*
> *πρὶν τρίποδα χρύσειον, ὃν Ἥφαιστος βάλε πόντῳ,*
> *ἐκ πόλιος πέμψητε καὶ ἐς δόμον ἀνδρὸς ἵκηται,*
> *ὃς σοφὸς ᾖ τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα.*

Μιλησίοις δέ·

> *ἔκγονε Μιλήτου, τρίποδος πέρι Φοῖβον ἐρωτᾷς;*

καὶ ὡς προείρηται. cf. etiam Callim. Dieg. VI 13 ad fr. 191 Pf.; Plut. Sol. 4 = Test. 131b Martina (et vid. M. Manfredini – L. Piccirilli, Plutarco. La vita di Solone, Milano 1977, adn. ad l.); Diod. 9, 3, 2; Val. Max. 4, 1 ext. 7; Tzetz. in Aristoph. Plut. 9 (9s Massa Positano).

Periander et Chilon

17 Diog. Laert. 1, 73 = Chil. Test. 2, 60ss

Periander et Pittacus

18 Plut. Sept. sap. conv. 21 p. 163f–164a

ὁ ποιητὴς Χερσίας ἄλλων τε σωθέντων ἀνελπίστως ἐμέμνητο καὶ Κυψέλου τοῦ Περιάνδρου πατρός, ὃν οἱ πεμφθέντες ἀνελεῖν νεογνὸν ὄντα προσμειδιάσαντ' αὐτοῖς ἀπετράποντο· καὶ πάλιν μετανοήσαντες ἐζήτουν καὶ οὐχ εὗρον, εἰς κυψέλην ὑπὸ τῆς μητρὸς ἀποτεθέντα. διὸ καὶ τὸν οἶκον ἐν Δελφοῖς κατεσκεύασεν ὁ Κύψελος, ὡς τοῦ θεοῦ τότε τὸν

κλαυθμυρισμὸν ἐπισχόντος, ὅπως διαλάθοι τοὺς ζητοῦντας. καὶ ὁ Πιττακὸς (Test. 12) *προσαγορεύσας τὸν Περίανδρον 'εὖ γ'' ἔφη, 'Περίανδρε, Χερσίας ἐποίησε μνησθεὶς τοῦ οἴκου· πολλάκις γὰρ ἐβουλόμην ἐρέσθαι σε τῶν βατράχων τὴν αἰτίαν ἐκείνων, τί βούλονται περὶ τὸν πυθμένα τοῦ φοίνικος ἐντετορευμένοι τοσοῦτοι, καὶ τίνα πρὸς τὸν θεὸν ἢ τὸν ἀναθέντα λόγον ἔχουσι.'*

19 Athen. 10 p. 427ef

οὐκ ἐμέθυον δ' οἱ πάλαι, ἀλλὰ καὶ Πιττακὸς (Test. 12) *Περιάνδρῳ τῷ Κορινθίῳ παρῄνει μὴ μεθύσκεσθαι μηδὲ κωμάζειν, ἵν', ἔφη, μὴ γνωσθῇς οἷος ὢν τυγχάνεις, ἀλλ' οὐχ οἷος προσποιῇ.*

Periander et Solon

20 Diog. Laert. 1, 64 = Solon. Test. 232 Martina

Σόλων Περιάνδρῳ

ἐπαγγέλλεις μοι πολλούς τοι ἐπιβουλεύειν. σὺ δὲ εἰ μὲν μέλλεις ἐκποδὼν ἅπαντας ποιήσεσθαι, οὐκ ἂν φθάνοις. ἐπιβουλεύσειε δ' ἄν τις καὶ τῶν ἀνυπόπτων, ὁ μὲν δεδιὼς περὶ αὑτῷ, ὁ δὲ σοῦ καταγνούς, οὐκ ἔσθ' ὅ τι οὐκ ὀρρωδοῦντος· κἂν τῇ πόλει χάριν κατάθοιτο ἐξευρών, ἢν μὴ ὕποπτος εἴης. ἄριστον μὲν οὖν ἀπέχεσθαι, ἵνα τῆς αἰτίας ἀπαλλαγῇς. εἰ δὲ πάντως τυραννητέον, φροντίζειν ὅπως τὴν ἀλλοδαπὴν δύναμιν πλείονα ἕξεις τῶν ἐν τῇ πόλει, καὶ οὐδεὶς ἔτι τοι δεινός, μηδὲ σὺ ἐκποδών τινα ποιοῦ.

21 Ps.-Dion. Chrys. Or. 37, 6s (II 18, 15 Arnim; II 24, 12 De Budé)

Περίανδρος σοφὸς μὲν ἦν μετ' ὀλίγων, τύραννος δὲ μετὰ πολλῶν· ἀμφότερα δὲ καὶ τύραννος καὶ σοφὸς μόνος. παρὰ τοῦτον ὁ Σόλων (Test. 131a Martina) *ἐλθὼν καὶ τυχὼν τῶν κοινῶν (κοινὰ γὰρ τὰ φίλων) ἀλλ' ὅμως ἀνδριάντος οὐκ ἔτυχεν, οὐ δήπου καταφρονῶν ἀνδριάντος, ἀλλὰ καὶ τὸ ἐν Σαλαμῖνι χαλκοῦς ἑστάναι μέγα ποιούμενος· πόθεν γε δὴ οὐχὶ ἐν Κορίνθῳ, ἐν τῷ περιπάτῳ τῆς Ἑλλάδος;*

Periander et Thales

22 Plut. Sept. sap. conv. 3 p. 149e

πρὸς τοῦτο μηδὲν ἀποκρινάμενος ὁ Θαλῆς ἀλλὰ γελῶν ἀπηλλάττετο. καὶ τοῦ Περιάνδρου πρὸς τὰς θύρας ἀπαντήσαντος ἡμῖν (scil. *Διοκλεῖ, Θαλῇ, Νειλοξένῳ*) *καὶ διαπυνθανομένου περὶ ὧν εἴδομεν, ἀφεὶς ὁ Θαλῆς με* (scil. *Διοκλέα*) *καὶ λαβόμενος τῆς ἐκείνου χειρὸς ἔφη 'ἃ μὲν Διοκλῆς*

κελεύει δράσεις καθ' ἡσυχίαν· ἐγὼ δέ σοι παραινῶ νέοις οὕτω μὴ χρῆσθαι νομεῦσιν ἵππων ἢ διδόναι γυναῖκας αὐτοῖς.' ἔδοξε μὲν οὖν μοι τῶν λόγων ἀκούσας ὁ Περίανδρος ἡσθῆναι σφόδρα· καὶ γὰρ ἐξεγέλασε καὶ τὸν Θαλῆν περιβαλὼν κατησπάσατο. cf. ibid. 3 p. 148bc.

Dicta memorabilia

23a Stob. 3, 1 (*π. ἀρετῆς*), 172, III 123 H.

Περίανδρος Κυψέλου Κορίνθιος ἔφη· μελέτα τὸ πᾶν. καλὸν ἡσυχία· ἐπισφαλὲς προπέτεια. κέρδος αἰσχρὸν φύσεως κατηγορία. δημοκρατία κρεῖττον τυραννίδος. αἱ μὲν ἡδοναὶ θνηταί, αἱ δ' ἀρεταὶ ἀθάνατοι. εὐτυχῶν μὲν μέτριος ἴσθι, ἀτυχῶν δὲ φρόνιμος. φειδόμενον κρεῖττον ἀποθανεῖν ἢ ζῶντα ἐνδεῖσθαι. σεαυτὸν ἄξιον παρασκεύαζε τῶν γονέων. ζῶν μὲν ἐπαινοῦ, ἀποθανὼν δὲ μακαρίζου. φίλοις εὐτυχοῦσι καὶ ἀτυχοῦσιν ὁ αὐτὸς ἴσθι. ὃν ἂν ἑκὼν ὁμολογήσῃς πονηρόν, παράβαινε. λόγων ἀπορρήτων ἐκφορὰν μὴ ποιοῦ. λοιδοροῦ ὡς ταχὺ φίλος ἐσόμενος. τοῖς μὲν νόμοις παλαιοῖς χρῶ, τοῖς δ' ὄψοις προσφάτοις. μὴ μόνον τοὺς ἁμαρτάνοντας κόλαζε, ἀλλὰ καὶ τοὺς μέλλοντας κώλυε. δυστυχῶν κρύπτε, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνῃς. cf. Clem. Alex. Strom. 1, 14, 61; Auson. Lud. sept. sap. 65s; 214ss; Test. 9, 44ss.

23b Stob. 3, 3 (*π. φρονήσεως*), 45, III 209 H.

Περιάνδρου. Περίανδρος ἐρωτηθείς, τί μέγιστον ἐν ἐλαχίστῳ, εἶπε 'φρένες ἀγαθαὶ ἐν σώματι ἀνθρώπου'. cf. Gnomol. Paris. 319 (33 Sternbach).

24 Plut. Sept. sap. conv. 11 p. 154f

τελευταῖος δὲ πάλιν ὁ Περίανδρος ἐπικρίνων ἔφη δοκεῖν αὐτῷ πάντας ἐπαινεῖν δημοκρατίαν τὴν ὁμοιοτάτην ἀριστοκρατίᾳ.

25 Anth. P. 9, 366, 4

ὃς δὲ Κόρινθον ἔναιε, χόλου κρατέειν Περίανδρος.

26 Suda s. v. *Χαλεπὰ τὰ καλά* (IV 780, 23 Adler)

Χαλεπὰ τὰ καλά: Πιττακὸν (Test. 1, 6s; 3, 27ss) *ἀποτιθέμενον τὴν ἀρχὴν πρὸς τοὺς θαυμάζοντας εἰπεῖν, χαλεπὸν ἐσθλὸν ἔμμεναι. Σόλωνα* (Test. 206a Martina) *δὲ μαλακίαν αὐτοῦ καταγνόντα φάναι, χαλεπὰ τὰ καλά. διὸ καὶ ἑκάτερα παροιμιασθῆναι. Χαλεπὰ τὰ καλά· φασὶ Περίαν-*

δρον τὸν Κορίνθιον καταρχὰς μὲν εἶναι δημοτικόν, ὕστερον δὲ τὴν προαίρεσιν μεταβαλόντα τυραννικὸν γενέσθαι. ὅθεν ἡ παροιμία. οἱ δὲ τὸ χαλεπὰ ἀντὶ τοῦ ἀδύνατα τιθέασιν, ὡς μηδὲ ἐκείνου δυνηθέντος τηρῆσαι τὴν ἑαυτοῦ γνώμην.

Veterum iudicia

27 P. Oxy. 664 fr. (b) col. III 92–120 saec. III p. C., edd. Grenfell-Hunt, The Oxyrh. Papyri vol. IV (1904), 72ss

εἰ τοίνυν, ἔφην, ἀληθῆ ταῦτ' [ἐ]στὶν οὔτ' ἂν Περιάνδρῳ λυσιτελοίη μᾶλλον ἄρχειν ἢ ὑφ' ἑτέρου ἄ[ρχ]εσθαι· οὔτ' ἄλλῳ οὐθενὶ τῶ[ν] φαύλως ἀρχόντων· δοκῶ γὰρ α̣[ὐτ]όν, ἔφην, ἐν τοῖς φιλτάτοις [κομι]εῖσθαι τὰς ἁμαρτίας· τί γὰρ [φίλ]τερον ἀνδρὶ νοῦν ἔχο[ντι] πατρίδος; καὶ [κ]ατὰ φύσιν [οἰ]κ̣είων ἀνθρώ[π]ων; ὑπο[λαβ]ὼν οὖν ὁ Ἀρί[φ]ρων 'ἀλη[θῆ ν]ὴ Δί', ἔφη, 'λέ[γ]εις· καὶ βου[λ]όμεθά σοι μαρ[τ]υρῆσαι ἐγὼ καὶ Ἀδείμαντος [ο]ὑτοσὶ παραγενόμενοι νυνὶ [Πε]ριάνδρῳ διὰ τὴν ὠμότη[τ]α μεγάλῃ πάνυ συμφορᾷ [π]εριπεσόντι'. καὶ ὁ Πισίστρα[τ]ος 'τίνι ταύτῃ;' ἔφ[η·] 'ἐγώ', εἶ[π]εν, 'φράσω· πρὸ τ[οῦ γὰρ] Κύ[ψε]λον τὸν Περιάνδρ[ου π]ατέ[ρα] λαβεῖν τὴν ἀρχὴ[ν ἐκ]ρά[το]υν τῆς πόλεως ο[ἱ καλο]ύ[μ]ενοι Βακχι[άδαι], συ[γγένεια με]γάλη· λαβ[όν]τος [δὲ αὐτο]ῦ τὴν ἀρχὴν το[ύτων τὸ μὲν] πλῆθος ἔφυγε τ[. . . . .] ι̣ν̣ ὀλίγο[ι] δὲ και̣ [. . . . .] ε̣ι̣π̣[.]ν οὖν υἱεῖς̣ . . .

27 supplementa sunt edd. pr. | dialogus ad rem publicam gerendam pertinere videtur. praeter illum qui narrat loquentes inducuntur Ariphron Periclis avus et Pisistratus Atheniensis || 5 post *ἀνθρώπων* dicolon pap. || 6ss hic tantum traditur Periander Pisistrato aequalis fuisse, cf. Test. 5, 41 adn. || 7 ad Periandri crudelitatem cf. Test. 5, 16ss; 7, 4ss; 11, 29s | *μεγαλη* pap. || 8 post *περιπεσόντι* dicolon pap. | post *ἔφη* dicolon pap. || 11 *Βακχυ* pap., *ι* suprascr. m.[2] || 12]ι̣ν̣: *πόλ*]ι̣ν̣ possis || 12s *κατ[εμειναν απελ]ειπ[ο]ν* dub. edd. pr.

PITTACVS

Mitylenaeus saec. VII – VI

TESTIMONIA VITAE ATQVE OPERIS

Chronographia

1 Suda s. v. *Πιττακός* (IV 136, 34ss Adler)

Μιτυληναῖος, υἱὸς Καΐκοῦ ἢ Ὑρραδίου Θρᾳκός, μητρὸς δὲ Λεσβίας. οὗτος γέγονε κατὰ τὴν λβ' ὀλυμπιάδα (652 – 649 a. C.), *εἷς καὶ αὐτὸς τῶν ζ' σοφῶν. ἔγραψε νόμους καὶ τῇ μβ' ὀλυμπιάδι* (612 – 609 a. C.) *Μέλαγχρον τὸν τύραννον Μιτυλήνης ἀνεῖλε καὶ Φρύνωνα στρατηγὸν Ἀθηναίων πολεμοῦντα ὑπὲρ τοῦ Σιγείου μονομαχῶν ἀπέκτεινε, δικτύῳ περιβαλὼν αὐτόν. γηραιὸς δὲ ἀναγκαζόμενος στρατηγεῖν ἔφη· ὡς χαλεπὸν ἐσθλὸν ἔμμεναι. τούτου ἀπόφθεγμα, καιρὸν γνῶθι. ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη χ', καὶ ὑπὲρ νόμων καταλογάδην.*

2 Hieronym. Chron. Ol. 43 = 608 – 605 a. C. (98b 18ss Helm)

Pittacus Mitylenaeus, qui de septem sapientibus fuit, cum Frynone Atheniensi Olympionice congressus eum interfecit.

Vita atque opus

3 Diog. Laert. 1, 74 – 81

(74) *Πιττακὸς Ὑρραδίου Μυτιληναῖος. φησὶ δὲ Δοῦρις* (FGrHist 76 F 75) *τὸν πατέρα αὐτοῦ Θρᾷκα εἶναι. οὗτος μετὰ τῶν Ἀλκαίου γενόμενος ἀδελφῶν Μέλαγχρον καθεῖλε τὸν τῆς Λέσβου τύραννον*

1 *Ὑρράδιος* est quidem patronymicum nomen Pittaci, cf. Callim. Epigr. 1, 2 Pf. = Test. 3, 63, Dionys. Thrac. Ars gramm. *π. ὀνόμ.* (I 1, 26, 3 Uhlig), Schol. Dionys. Thrac. Art. gramm. (III 1, 221, 5. 368, 13s Hilgard), Herodian *π. μονήρους λέξεως* 18 (II 924, 12 Lentz), Priscian. II 6, 35 (II 65, 16 Keil), Hesych. s. v. *Ὑρράδιος*, Suda s. v. *Ὕρρα παῖς* (IV 682, 11 Adler), Eust. in Il. p. 13, 45ss; vid. etiam Alc. fr. 298, 47 Voigt *ὦ Ὕρραδ'ον.[* (Gallavotti, Boll. Com. 1970, 25: *ωϋρρᾰδον.[* pap., *ὦ Ὑρράδ⟨ι⟩ον* Lloyd-Jones 135s, *ὦ Ὕρρα* (voc.) *δον.[* Snell ap. Voigt, sed cf. Rösler 207), ubi *Ὕρραδος* = *Ὑρράδιος* ut *Ὕρραος* lesb. (Alc. fr. 129, 13 Voigt) = *Ὑρραῖος*; *ὕρραος* ut adjectivum (= *νόθος*) interpretatus est Di Benedetto 404s coll. Hesych., sed vid. Perrotta – Gent. 202. 206s ‖ 2 cf. Suda s. v. *Σαπφώ* (IV 323, 3 Adler) ‖ 4ss cf. Test. 2, ubi certamen singulare cum Phrynone ad Ol. XLIII refertur, et Test. 3, 4ss ‖ 6s cf. Test. 3, 27ss ‖ 7 cf. Test. 19a, 1 ‖ 7s cf. Test. 3, 48s ‖ 2 cf. Test. 1, 4ss; 3, 4ss; ad Olympicam Phrynonis victoriam vid. L. Moretti, Olympionikai. I vincitori negli antichi agoni olimpici, Roma 1957, 58 ‖ 3 1 *Ὑρραδίου* in *Ὑρράδιος* fortasse corrigendum, cf. Test. 1, 1 adn. ‖ 3 cf. Test. 1, 4

(Test. 154 Gall. = 469 Voigt)· *καὶ περὶ τῆς Ἀχιλείτιδος χώρας μαχομένων Ἀθηναίων καὶ Μυτιληναίων ἐστρατήγει μὲν αὐτός, Ἀθηναίων δὲ Φρύνων παγκρατιαστὴς Ὀλυμπιονίκης. συνέθετο δὴ μονομαχῆσαι πρὸς αὐτόν· καὶ δίκτυον ἔχων ὑπὸ τὴν ἀσπίδα λαθραίως περιέβαλε τὸν Φρύνωνα, καὶ κτείνας ἀνεσώσατο τὸ χωρίον. ὕστερον μέντοι φησὶν Ἀπολλόδωρος ἐν τοῖς Χρονικοῖς* (FGrHist 244 F 27) *διαδικασθῆναι τοὺς Ἀθηναίους περὶ τοῦ χωρίου πρὸς τοὺς Μυτιληναίους, ἀκούοντος τῆς δίκης Περιάνδρου, ὃν καὶ τοῖς Ἀθηναίοις προσκρῖναι.* (75) *τότε δ' οὖν τὸν Π ι τ τ α κ ὸ ν ἰσχυρῶς ἐτίμησαν οἱ Μυτιληναῖοι καὶ τὴν ἀρχὴν ἐνεχείρισαν αὐτῷ. ὁ δὲ δέκα ἔτη* (590 – 580 a. C.) *κατασχὼν καὶ εἰς τάξιν ἀγαγὼν τὸ πολίτευμα, κατέθετο τὴν ἀρχήν, καὶ δέκα ἐπεβίω ἄλλα. καὶ χώραν αὐτῷ ἀπένειμαν οἱ Μυτιληναῖοι· ὁ δὲ ἱερὰν ἀνῆκεν, ἥτις νῦν Π ι τ τ ά κ ε ι ο ς καλεῖται. Σωσικράτης δέ φησιν* (FHG IV 502 fr. 13 Müller) *ὅτι ὀλίγον ἀποτεμόμενος ἔφη τὸ ἥμισυ τοῦ παντὸς πλεῖον εἶναι. ἀλλὰ καὶ Κροίσου διδόντος χρήματα οὐκ ἐδέξατο, εἰπὼν ἔχειν ὧν ἐβούλετο διπλάσια· ἄπαιδος γὰρ τἀδελφοῦ τελευτήσαντος κεκληρονομηκέναι.* (76) *Παμφίλη δέ φησιν ἐν τῷ δευτέρῳ τῶν Ὑπομνημάτων* (FHG III 521 fr. 3 Müller), *ὡς τὸν υἱὸν αὐτοῦ Τυρραῖον καθήμενον ἐπὶ κουρείου ἐν Κύμῃ χαλκεύς τις πέλεκυν ἐμβαλὼν ἀνέλοι. τῶν δὲ Κυμαίων πεμψάντων τὸν φονέα τῷ Π ι τ τ α κ ῷ, μαθόντα καὶ ἀπολύσαντα εἰπεῖν 'συγγνώμη μετανοίας κρείσσων'. Ἡράκλειτος δέ φησιν, Ἀλκαῖον ὑποχείριον λαβόντα καὶ ἀπολύσαντα φάναι 'συγγνώμη τιμωρίας κρείσσων'. νόμους δὲ ἔθηκε, τῷ μεθύοντι, ἐὰν ἁμάρτῃ, διπλῆν εἶναι τὴν ζημίαν, ἵνα μὴ μεθύωσι, πολλοῦ κατὰ τὴν νῆσον οἴνου γινομένου. εἶπέ τε χαλεπὸν ἐσθλὸν ἔμμεναι· οὗ καὶ Σιμωνίδης μέμνηται* (542 P.) *λέγων· 'ἄνδρ' ἀγαθὸν ἀλαθέως γενέσθαι χαλεπόν, τὸ Π ι τ τ ά κ ε ι ο ν'.* (77) *μέμνηται αὐτοῦ καὶ Πλάτων ἐν Πρωταγόρᾳ* (345d)· *'ἀνάγκᾳ δ' οὐδὲ θεοὶ μάχονται'. καὶ 'ἀρχὴ ἄνδρα δείκνυσιν'. ἐρωτηθεὶς δέ ποτε τί ἄριστον, 'τὸ παρὸν εὖ ποιεῖν', καὶ ὑπὸ Κροίσου τίς ἀρχὴ μεγίστη, 'ἡ τοῦ ποικίλου' ἔφη 'ξύλου', σημαίνων τὸν νόμον. ἔλεγε δὲ καὶ τὰς νίκας ἄνευ αἵματος ποιεῖσθαι. ἔφη δὲ καὶ πρὸς τὸν Φωκαϊκὸν φάσκοντα δεῖν ζητεῖν σπουδαῖον ἄνθρωπον, 'κἂν λίαν' ἔφη 'ζητῇς, οὐχ εὑρήσεις', καὶ πρὸς τοὺς πυνθανομένους τί εὐχάριστον, 'χρόνος', ἔφη· ἀφανές, 'τὸ μέλλον'· πιστόν, 'γῆ'· ἄπιστον, 'θάλασσα'.*

5 ⟨*Μυτιληναίων*⟩ post *Μυτ.* add. Casaub., Jac., post *ἐστρ.* Richards 342 || 6ss cf. Test. 1, 4s et 2, Strab. 13, 1, 39 p. 600, Plut. De Herodt. malign. 15 p. 858, Polyaen. 1, 25, Schol. Aesch. Eum. 398c, Fest. s. v. Retiarius (359 Lindsay) || 15 *χώραν* i. e. *Ἀχιλείτιδα*, ut testatur Diod. 9, 12, 1 *τῶν Μιτυληναίων διδόντων τῷ Πιττακῷ τῆς χώρας ὑπὲρ ἧς ἐμονομάχησε τὴν ἡμίσειαν* || 17ss de Pittaco et Croeso cf. Diod. 9, 12, 2, Plut. De frat. am. 12 p. 484c et Test. 15 || 24s cf. Stob. 3, 19 (*π. ἀνεξικακίας*) 14, III 533 H. et Diod. 9, 12, 3 || 25ss cf. Test. 5 || 28 cf. Schol. Plat. Hipp. ma. 304e (178 Greene) et Test. 1, 6s || 34 *κἂν* Richards 342: *ἂν* codd.

(78) *ἔλεγέ τε συνετῶν μὲν ἀνδρῶν, πρὶν γενέσθαι τὰ δυσχερῆ, προνοῆσαι ὅπως μὴ γένηται, ἀνδρείων δέ, γενόμενα εὖ θέσθαι. 'ὃ μέλλεις πράττειν, μὴ πρόλεγε· ἀποτυχὼν γὰρ γελασθήσῃ'. ἀτυχίαν μὴ ὀνειδίζειν, νέμεσιν αἰδόμενον. παρακαταθήκην λαβόντα ἀποδοῦναι. φίλον μὴ λέγειν κακῶς, ἀλλὰ μηδὲ ἐχθρόν. εὐσέβειαν ἀσκεῖν. σωφροσύνην φιλεῖν. ἀλήθειαν ἔχειν, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρίαν, ἐπιμέλειαν. τῶν δὲ ᾀδομένων αὐτοῦ μάλιστα εὐδοκίμησε τάδε* (Scol. Lobon. 34 D.)

Ἔχοντα χρὴ τόξον ⟨τε⟩ καὶ ἰοδόκον φαρέτραν
στείχειν ποτὶ φῶτα κακόν.
πιστὸν γὰρ οὐδὲν γλῶσσα διὰ στόματος
λαλεῖ διχόμυθον ἔχουσα καρδίῃ νόημα.

(79) *ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη ἑξακόσια, καὶ ὑπὲρ νόμων καταλογάδην τοῖς πολίταις. ἤκμαζε μὲν οὖν περὶ τὴν τεσσαρακοστὴν δευτέραν Ὀλυμπιάδα* (612–609 a. C.)· *ἐτελεύτησε δ' ἐπὶ Ἀριστομένους τῷ τρίτῳ ἔτει τῆς πεντηκοστῆς δευτέρας Ὀλυμπιάδος* (570 a. C.), *βιοὺς ὑπὲρ ἔτη ἑβδομήκοντα, ἤδη γηραιός. καὶ αὐτῷ ἐπὶ τοῦ μνήματος ἐπιγέγραπται τόδε* (Anth. Pl. II 3 = Inscr. Gr. Metr. 244 Preger)·

οἰκείοις δακρύοις ἁ γειναμένα κατακλαίει
Πιττακὸν ἧδ' ἱερὰ Λέσβος ⟨ἀποφθίμενον⟩.

ἀπόφθεγμα αὐτοῦ· καιρὸν γνῶθι. γέγονε δὲ καὶ ἕτερος Πιττακὸς νομοθέτης, ὥς φησι Φαβωρῖνος ἐν Ἀπομνημονευμάτων πρώτῳ (FHG III 577 fr. 1 Müller = 32 Barigazzi) *καὶ Δημήτριος ἐν Ὁμωνύμοις, ὃς καὶ μικρὸς προσηγορεύθη. τὸν δ' οὖν σοφὸν λέγεταί ποτε νεανίσκῳ συμβουλευομένῳ περὶ γάμου ταῦτα εἰπεῖν, ἅ φησι Καλλίμαχος ἐν τοῖς Ἐπιγράμμασι* (fr. 1 Pf. = Anth. P. 7, 89, Anth. Pl. 3a 28, 20)·

(80) *Ξεῖνος Ἀταρνείτης τις ἀνείρετο Πιττακὸν οὕτω*
τὸν Μυτιληναῖον, παῖδα τὸν Ὑρράδιον·
'ἄττα γέρον, δοιός με καλεῖ γάμος· ἡ μία μὲν δὴ
νύμφη καὶ πλούτῳ καὶ γενεῇ κατ' ἐμέ·

37 s cf. Alc. fr. 249, 6 Voigt *ἐκ γᾶς χρῆ προΐδην πλόον* || **40** *παρακατ. . . . ἀποδ.* cf. Plat. Resp. 4 p. 442e || **44–47** metrum: ia. | pros. | ba. | pros. || iambel. (reiz. | hemiep.) || enhopl. | ithyph. ||| || **44** *τόξα* q | ⟨*τε*⟩ add. Bgk. || **45** *ποτὶ*] *ἐπὶ* **FP** || **46** ad rem cf. Eur. Hipp. 612 *ἡ γλῶσσ' ὀμώμοχ', ἡ δὲ φρὴν ἀνώμοτος* || **47** *ἔχουσι* Bgk. *ἔχοντι* Pellizer – Tedeschi 12 | *κραδίῃ* **BP***π* *κραδίην* **F***δ*: *καρδίῃ* Ilgen || **48 s** cf. Test. 1, 7 s || **50 ss** ad Pittaci mortem P. Oxy. 2506 fr. 77 (= 306 Ab Voigt) refert Treu 20 ss || **51** *δευτέρας*] *πρώτης* **ehiy**: dub. del. Jac., prob. Schachermeyr || **52** *ἑβδ.*] *ὀγδοήκοντα* Meursius, fortasse recte | *ἤδη γηραιός* del. Cobet, post *γηρ.* ⟨*ὤν, ὅτε κατέσχεν τὴν πολιτείαν*⟩ ex. gr. add. Jac. || **54–55** alii alia coniecerunt, nos textum dedimus quem Cobet et Long probb. || **56** cf. Test. 19a, 1 || **62** *ἀνήρετο* Diog. || **63** *ὑρράδιον* **P**[1]: *ὑρραδίου* Diog., **P**[pc], Pl.

ἡ δ' ἑτέρη προβέβηκε. τί λώϊον; εἰ δ' ἄγε, σύν μοι
βούλευσον, ποτέρην εἰς ὑμέναιον ἄγω.'
εἶπεν· ὁ δὲ σκίπωνα, γεροντικὸν ὅπλον, ἀείρας·
'ἠνίδε· κεῖνοί σοι πᾶν ἐρέουσιν ἔπος'.
οἱ δ' ἄρ' ὑπὸ πληγῇσι θοὰς βέμβικας ἔχοντες
ἔστρεφον εὐρείῃ παῖδες ἐνὶ τριόδῳ.
'κείνων ἔρχεο' φησί 'μετ' ἴχνια'. χὼ μὲν ἐπέστη
πλησίον· οἱ δ' ἔλεγον· 'τὴν κατὰ σαυτὸν ἔλα'.
ταῦτ' ἀΐων ὁ ξεῖνος ἐφείσατο μείζονος οἴκου
δράξασθαι, παίδων κληδόνα συνθέμενος.
τὴν δ' ὀλίγην ὡς κεῖνος ἐς οἰκίον ἤγετο νύμφην,
οὕτω καὶ σύ, Δίων, τὴν κατὰ σαυτὸν ἔλα.

δοκεῖ δ' ἐκ διαθέσεως αὐτὰ εἰρηκέναι. (81) *εὐγενεστέρα γὰρ αὐτῷ οὖσα ἡ γυνή, ἐπειδήπερ ἦν Δράκοντος ἀδελφὴ τοῦ Πενθίλου, σφόδρα κατεσοβαρεύετο αὐτοῦ. τοῦτον Ἀλκαῖος* (Test. 429 Voigt cum adn.) *σαράποδα μὲν καὶ σάραπον ἀποκαλεῖ διὰ τὸ πλατύπουν εἶναι καὶ ἐπισύρειν τὼ πόδε, χειροπόδην δὲ διὰ τὰς ἐν τοῖς ποσὶ ῥαγάδας, ἃς χειράδας ἐκάλουν, γαύρηκα δὲ ὡς εἰκῇ γαυριῶντα, φύσκωνα δὲ καὶ γάστρωνα ὅτι παχὺς ἦν, ἀλλὰ μὴν καὶ ζοφοδορπίδαν ὡς ἄλυχνον, ἀγάσυρτον δὲ ὡς ἐπισεσυρμένον καὶ ῥυπαρόν. τούτῳ γυμνάσιον σῖτον ἀλεῖν, ὥς φησι Κλέαρχος ὁ φιλόσοφος* (fr. 71 Wehrli). *καὶ αὐτοῦ ἐστιν ἐπιστόλιον τοιόνδε* (I 491 Hercher)·

Π ι τ τ α κ ὸ ς Κροίσῳ

κέλεαί με ἱκνέεσθαι ἐς Λυδίην, ὅπως σοι τὸν ὄλβον ἴδοιμι· ἐγὼ δὲ καὶ μὴ ὁρεὶς πέπεισμαι τὸν Ἀλυάττεω παῖδα τῶν βασιλήων πολυχρυσότατον πέλειν. οὐδέν τε πλέον ἄμμιν ἱκομένοις ἐς Σάρδις· χρυσοῦ γὰρ οὐ δεύμεθα, ἀλλὰ πέπαμαι ἄρκια καὶ τοῖς ἐμοῖς ἑτάροις. ἔμπας δ' ἵξομαι, ὡς ἀνδρὶ ξείνῳ γενοίμην τοι συνόμιλος.

Pittacus aesymnetes

4 Aristot. Pol. 3 p. 1285a 30ss

... *ἕτερον* (scil. *μοναρχίας εἶδος*) *δ' ὅπερ ἦν ἐν τοῖς ἀρχαίοις Ἕλλησιν, οὓς καλοῦσιν αἰσυμνήτας. ἔστι δὲ τοῦθ' ὡς ἁπλῶς εἰπεῖν αἱρετὴ τυραννίς, διαφέρουσα δὲ τῆς βαρβαρικῆς οὐ τῷ μὴ κατὰ νόμον ἀλλὰ τῷ μὴ πάτριος εἶναι μόνον. ἦρχον δ' οἱ μὲν διὰ βίου τὴν ἀρχὴν ταύτην, οἱ δὲ μέχρι τινῶν*

66 *σύμ μοι* Diog. **Pq**, Pf. *μοι σύ* Pl. || **72** *ἴχνεσι* **P**[1] || **75** *κληδόνι* ex *-να* Pl. || **76** *οἶκον ἐπήγετο* **P** Pl. || **77** *σύ γ ἰών* **P** Pl. || **79** cf. Alc. frr. 70, 6; 75, 10 Voigt || **85** cf. Test. 22 || **88**ss cf. Test. 15

ὡρισμένων χρόνων ἢ πράξεων, οἷον εἵλοντό ποτε Μυτιληναῖοι Πιττακὸν πρὸς τοὺς φυγάδας ὧν προειστήκεσαν Ἀντιμενίδης καὶ Ἀλκαῖος ὁ ποιητής. δηλοῖ δ' Ἀλκαῖος ὅτι τύραννον εἵλοντο τὸν Πιττακὸν ἔν τινι τῶν σκολιῶν μελῶν (fr. 348 Voigt)· *ἐπιτιμᾷ γὰρ ὅτι 'τὸν κακοπάτριδα Πίττακον πόλιος τᾶς ἀχόλω καὶ βαρυδαίμονος ἐστάσαντο τύραννον μέγ' ἐπαινέοντες ἀόλλεες'. αὗται μὲν οὖν εἰσί τε καὶ ἦσαν διὰ μὲν τὸ δεσποτικαὶ εἶναι τυραννικαί, διὰ δὲ τὸ αἱρεταὶ καὶ ἑκόντων βασιλικαί.* cf. Eth. Nic. 9 p. 1167a 28ss; Dion. Hal. Ant. Rom. 5, 73, 3; Plut. Sol. 14, 7.

Pittacus legum auctor

(*de ebrietate*)

5 Aristot. Pol. 2 p. 1274b 18ss

ἐγένετο δὲ καὶ Πιττακὸς νόμων δημιουργὸς ἀλλ' οὐ πολιτείας· νόμος δ' ἴδιος αὐτοῦ τὸ τοὺς μεθύοντας, ἄν τι πταίσωσι, πλείω ζημίαν ἀποτίνειν τῶν νηφόντων· διὰ γὰρ τὸ πλείους ὑβρίζειν μεθύοντας ἢ νήφοντας οὐ πρὸς τὴν συγγνώμην ἀπέβλεψεν, ὅτι δεῖ μεθύουσιν ἔχειν μᾶλλον, ἀλλὰ πρὸς τὸ συμφέρον. cf. Rhet. 2 p. 1402b 7; Plut. Sept. sap. conv. 13 p. 155f; Test. 3, 25ss.

(*de obligationibus ad venalia vendenda pertinentibus*)

6 Theophr. *π. συμβολαίων* fr. 97 Wimmer = Stob. 4, 2 (*π. νόμων κ. ἐθῶν*), 20, IV 127 H.

οἱ μὲν οὖν ὑπὸ κήρυκος κελεύουσι πωλεῖν καὶ προκηρύττειν ἐκ πλειόνων ἡμερῶν, οἱ δὲ παρ' ἀρχῇ τινι, καθάπερ καὶ Πιττακὸς παρὰ βασιλεῦσι καὶ πρυτάνει.

(*de funeribus*)

7 Cic. De leg. 2, 64–66

de sepulchris autem nihil est apud Solonem amplius quam 'ne quis ea deleat neve alienum inferat' ... sublata etiam erat celebritas virorum ac mulierum, quo lamentatio minueretur; auget enim luctum concursus hominum. quocirca Pittacus omnino accedere quemquam vetat in funus aliorum.

(*de patria potestate*)

8 Dion. Hal. Ant. Rom. 2, 26, 2–3

οἱ μὲν γὰρ τὰς Ἑλληνικὰς καταστησάμενοι πολιτείας βραχύν τινα

κομιδῇ χρόνον ἔταξαν ἄρχεσθαι τοὺς παῖδας ὑπὸ τῶν πατέρων, οἱ μὲν ἕως τρίτον ἐκπληρώσωσιν ἀφ' ἥβης ἔτος, οἱ δὲ ὅσον ἂν χρόνον ἠίθεοι μένωσιν, οἱ δὲ μέχρι τῆς εἰς τὰ ἀρχεῖα τὰ δημόσια ἐγγραφῆς, ὡς ἐκ τῆς Σόλωνος (Test. 450 Martina) *καὶ Πιττακοῦ καὶ Χαρώνδου νομοθεσίας ἔμαθον, οἷς πολλὴ μαρτυρεῖται σοφία· τιμωρίας τε κατὰ τῶν παίδων ἔταξαν, ἐὰν ἀπειθῶσι τοῖς πατράσιν, οὐ βαρείας, ἐξελάσαι τῆς οἰκίας ἐπιτρέψαντες αὐτοὺς καὶ χρήματα μὴ καταλιπεῖν, περαιτέρω δὲ οὐδέν.*

(*de lege sumptuaria?*)

9 Sapph. fr. 98b, 1–3 Voigt

— *σοὶ δ' ἔγω Κλέι ποικίλαν* [
— *οὐκ ἔχω — πόθεν ἔσσεται;* — [
— *μιτράν⟨αν⟩· ἀλλὰ τῷ Μυτιληνάῳ* [

Pittacus et Alcaeus

10 Strab. 13, 2, 3 p. 617

ἄνδρας δ' ἔσχεν (scil. *Μιτυλήνη*) *ἐνδόξους τὸ παλαιὸν μὲν Πιττακόν, ἕνα τῶν ἑπτὰ σοφῶν, καὶ τὸν ποιητὴν Ἀλκαῖον καὶ τὸν ἀδελφὸν Ἀντιμενίδαν, ὅν φησιν Ἀλκαῖος Βαβυλωνίοις συμμαχοῦντα τελέσαι μέγαν ἆθλον καὶ ἐκ πόνων αὐτοὺς ῥύσασθαι κτείναντα 'ἄνδρα μαχαίταν βασιληίων παλάσταν* (*ὥς φησιν*) *ἀπολείποντα μόνον μίαν παχέων ἀπὺ πέμπων'* (Alc. fr. 350, 5ss Voigt). *συνήκμασε δὲ τούτοις καὶ ἡ Σαπφώ, θαυμαστόν τι χρῆμα· οὐ γὰρ ἴσμεν ἐν τῷ τοσούτῳ χρόνῳ τῷ μνημονευομένῳ φανεῖσάν τινα γυναῖκα ἐνάμιλλον οὐδὲ κατὰ μικρὸν ἐκείνῃ ποιήσεως χάριν. ἐτυραννήθη δὲ ἡ πόλις κατὰ τοὺς χρόνους τούτους ὑπὸ πλειόνων διὰ τὰς διχοστασίας, καὶ τὰ στασιωτικὰ καλούμενα τοῦ Ἀλκαίου ποιήματα περὶ τούτων ἐστίν· ἐν δὲ τοῖς τυράννοις καὶ ὁ Πιττακὸς ἐγένετο. Ἀλκαῖος μὲν οὖν ὁμοίως ἐλοιδορεῖτο καὶ τούτῳ καὶ τοῖς ἄλλοις, Μυρσίλῳ καὶ Μελάγχρῳ καὶ τοῖς Κλεανακτίδαις καὶ ἄλλοις τισίν, οὐδ' αὐτὸς καθαρεύων τῶν τοιούτων νεωτερισμῶν. Πιττακὸς δ' εἰς μὲν τὴν τῶν δυναστειῶν κατάλυσιν ἐχρήσατο τῇ μοναρχίᾳ καὶ αὐτός, καταλύσας δὲ ἀπέδωκε τὴν αὐτονομίαν τῇ πόλει.*

9 3 *Μυτιλ.*: de Pittaco agi putat A. Vogliano, Philologus 93, 1939, 277ss, probb. Pugliese-Carratelli, Stud. it. filol. class. 1941, 168 et Mazzarino, Athenaeum 1943, 57ss, obl. Page 102ss || **10** 11s cf. Test. 3, 80ss et Alc. frr. 67, 4; 68, 6; 69, 6ss; 75, 12; 129, 13ss Voigt

Pittacus et Myrsilus

11 Plut. Sept. sap. conv. 2 p. 147b

ἀλλ', ὅπερ ἔφην, διεβλήθης (scil. *Θαλῆς*) *μισοβασιλεὺς εἶναι, καί τινες ὑβριστικαί σου περὶ τυράννων ἀποφάσεις ἀνεφέροντο πρὸς αὐτόν* (scil. *Ἄμασιν*), *ὡς ἐρωτηθεὶς ὑπὸ Μολπαγόρου τοῦ Ἴωνος τί παραδοξότατον εἴης ἑωρακώς, ἀποκρίναιο 'τύραννον γέροντα', καὶ πάλιν ἔν τινι πότῳ, περὶ τῶν θηρίων λόγου γενομένου, φαίης κάκιστον εἶναι τῶν μὲν ἀγρίων θηρίων τὸν τύραννον, τῶν δ' ἡμέρων τὸν κόλακα· τοιαῦτα γάρ, εἰ καὶ πάνυ προσποιοῦνται διαφέρειν οἱ βασιλεῖς τῶν τυράννων, οὐκ εὐμενῶς ἀκούουσιν.' 'ἀλλὰ τοῦτο μέν' εἶπεν ὁ Θαλῆς 'Πιττακοῦ ἐστιν, εἰρημένον ἐν παιδιᾷ ποτε πρὸς Μυρσίλον· ἐγὼ δὲ 'θαυμάσαιμ' ἄν' ἔφην 'οὐ τύραννον ἀλλὰ κυβερνήτην γέροντα θεασάμενος'.*

Pittacus et Periander

12 Plut. Sept. sap. conv. 21 p. 164ab = Periand. Test. 18; Athen. 10 p. 427ef = Periand. Test. 19

Pittacus et Amasis

13 Plut. De garrul. 8 p. 506c

ὁ Πιττακὸς οὐ κακῶς τοῦ Αἰγυπτίων βασιλέως (scil. *Ἀμάσιδος*) *πέμψαντος ἱερεῖον αὐτῷ καὶ κελεύσαντος τὸ κάλλιστον καὶ χείριστον ἐξελεῖν κρέας ἔπεμψεν ἐξελὼν τὴν γλῶτταν ὡς ὄργανον μὲν ἀγαθῶν ὄργανον δὲ κακῶν τῶν μεγίστων οὖσαν.* cf. Plut. Comm. in Hes. Op. 719–721 (fr. 89 Sandbach).

Pittacus et Alyattes

14 Plut. Sept. sap. conv. 10 p. 153e

ἀποδεξαμένων δὲ πάντων τὸν Θαλῆν, ὁ Κλεόδωρος εἶπε 'τοιαῦτ' ἐρωτᾶν καὶ ἀποκρίνεσθαι βασιλεῦσιν, ὦ Νειλόξενε, προσῆκόν ἐστιν· ὁ δὲ προπίνων τὴν θάλατταν Ἀμάσιδι βάρβαρος ἐδεῖτο τῆς Πιττακοῦ βραχυλογίας, ᾗ πρὸς Ἀλυάττην ἐχρήσατο προστάττοντά τι καὶ γράφοντα Λεσβίοις ὑπερήφανον, ἀποκρινάμενος οὐδὲν ἀλλ' ἢ μόνον κελεύσας κρόμμυα καὶ θερμὸν ἄρτον ἐσθίειν.' cf. Biant. Test. 1, 19ss.

14 2s *ὁ . . . βάρβαρος* est rex Aethiopum qui iusserat Amasin mare exhaurire (cf. 6 p. 151b)

Pittacus et Croesus

15 Herodt. 1, 27

ὡς δὲ ἄρα οἱ ἐν τῇ Ἀσίῃ Ἕλληνες κατεστράφατο ἐς φόρου ἀπαγωγήν, τὸ ἐνθεῦτεν ἐπενόεε (scil. *Κροῖσος*) *νέας ποιησάμενος ἐπιχειρέειν τοῖσι νησιώτῃσι. ἐόντων δέ οἱ πάντων ἑτοίμων ἐς τὴν ναυπηγίην, οἱ μὲν Βίαντα λέγουσι τὸν Πριηνέα ἀπικόμενον ἐς Σάρδις, οἱ δὲ Πιττακὸν τὸν Μυτιληναῖον, εἰρομένου Κροίσου εἴ τι εἴη νεώτερον περὶ τὴν Ἑλλάδα, εἰπόντα τάδε καταπαῦσαι τὴν ναυπηγίην· 'ὦ βασιλεῦ, νησιῶται ἵππον συνωνέονται μυρίην, ἐς Σάρδις τε καὶ ἐπὶ σὲ ἐν νόῳ ἔχοντες στρατεύεσθαι.' Κροῖσον δέ, ἐλπίσαντα λέγειν ἐκεῖνον ἀληθέα, εἰπεῖν· 'αἲ γὰρ τοῦτο θεοὶ ποιήσειαν ἐπὶ νόον νησιώτῃσι, ἐλθεῖν ἐπὶ Λυδῶν παῖδας σὺν ἵπποισι.' τὸν δὲ ὑπολαβόντα φάναι· 'ὦ βασιλεῦ, προθύμως μοι φαίνεαι εὔξασθαι νησιώτας ἱππευομένους λαβεῖν ἐν ἠπείρῳ, οἰκότα ἐλπίζων· νησιώτας δὲ τί δοκέεις εὔχεσθαι ἄλλο ἤ, ἐπείτε τάχιστα ἐπύθοντό σε μέλλοντα ἐπὶ σφίσι ναυπηγέεσθαι νέας, λαβεῖν ἀρώμενοι Λυδοὺς ἐν θαλάσσῃ, ἵνα ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ οἰκημένων Ἑλλήνων τείσωνταί σε, τοὺς σὺ δουλώσας ἔχεις;' κάρτα τε ἡσθῆναι Κροῖσον τῷ ἐπιλόγῳ καί οἱ, προσφυέως γὰρ δόξαι λέγειν, πειθόμενον παύσασθαι τῆς ναυπηγίης. καὶ οὕτω τοῖσι τὰς νήσους οἰκημένοισι Ἴωσι ξεινίην συνεθήκατο.*

Pittacus unus de septem sapientibus

16 Plat. Prot. p. 343ab

τοῦτο οὖν αὐτὸ καὶ τῶν νῦν εἰσὶν οἳ κατανενοήκασι καὶ τῶν πάλαι, ὅτι τὸ λακωνίζειν πολὺ μᾶλλόν ἐστιν φιλοσοφεῖν ἢ φιλογυμναστεῖν, εἰδότες ὅτι τοιαῦτα οἷόν τ' εἶναι ῥήματα φθέγγεσθαι τελέως πεπαιδευμένου ἐστὶν ἀνθρώπου. τούτων ἦν καὶ Θαλῆς ὁ Μιλήσιος καὶ Πιττακὸς ὁ Μυτιληναῖος καὶ Βίας ὁ Πριηνεὺς καὶ Σόλων ὁ ἡμέτερος καὶ Κλεόβουλος ὁ Λίνδιος καὶ Μύσων ὁ Χηνεύς, καὶ ἕβδομος ἐν τούτοις ἐλέγετο Λακεδαιμόνιος Χίλων (Test. 6). *οὗτοι πάντες ζηλωταὶ καὶ ἐρασταὶ καὶ μαθηταὶ ἦσαν τῆς Λακεδαιμονίων παιδείας· καὶ καταμάθοι ἄν τις αὐτῶν τὴν σοφίαν τοιαύτην οὖσαν, ῥήματα βραχέα ἀξιομνημόνευτα ἑκάστῳ εἰρημέν' ἃ οὗτοι καὶ κοινῇ ξυνελθόντες ἀπαρχὴν τῆς σοφίας*

15 quae de Pittaco et Croeso narrat Herodotus ficta videntur, cf. Mazzarino, Athenaeum 1943, 75 et Barner, Hermes 1967, 27; si vero aliquid inter eos commercii fuit (cf. etiam P. Oxy. 2506 fr. 102, 12ss = 306 Af Voigt) hoc accidisse conieceris eo tempore quo Croesus iuvenis missus est a patre Alyatte ad urbem Adramyttium regendam, quae proxima est Mytilenis (575 a. C., cf. Nicol. Damasc. FGrHist 90 F 65). de Pittaco et Croeso cf. etiam Test. 3, 88ss

ἀνέθεσαν τῷ Ἀπόλλωνι εἰς τὸν νεὼν τὸν ἐν Δελφοῖς, γράψαντες ταῦτα ἃ δὴ πάντες ὑμνοῦσιν, Γνῶθι σαυτόν καὶ Μηδὲν ἄγαν. cf. Plat. Hipp. ma. 281c; Resp. 1 p. 335e; Lucian. Macrob. 18; Dial. mort. 20, 4.

17 Themist. Or. 34, 3 p. 446 Dind.

ὁ γὰρ Σόλων ἐκεῖνος (Test. 642 Martina) *καὶ ὁ Λυκοῦργος καὶ ὁ* **Πιττακὸς** *καὶ ὁ Βίας καὶ ὁ Κλεόβουλος ἀνερρήθησαν σοφοὶ παρὰ τῶν τότε ἀνθρώπων, οὐχ ὅτι συλλογισμοὺς ἔστρεφον ἄνω καὶ κάτω, οὐδὲ ὅτι περὶ τῶν ἰδεῶν διελέγοντο, οὐδ' ὅτι τοὺς ἐγκεκαλυμμένους ἀνεκάλυπτον καὶ τοὺς κερατίνας, σοφίσματα δυσμήχανα καὶ κακοῦργα, καὶ ὧν χαλεπὴ μὲν ἡ εὕρεσις, ἀχρεῖος δὲ ἡ ἐπιστήμη, ἀλλ' οὐδὲ ὅτι τὸν ἥλιον ἀνεμετροῦντο, οὐδὲ ὅτι τῆς σελήνης ἐγνωμάτευον τὴν πορείαν, ἀλλ' ὅτι νόμους ἐτίθεσαν καὶ τὸ ποιητέον καὶ τὸ μὴ ποιητέον ἐδίδασκον, καὶ τί μὲν αἱρεῖσθαι προσήκει, τί δὲ ἀποφυγγάνειν, καὶ ὅτι τὸ ζῷον τοῦτο οὐ μονῆρες καὶ αὐθέκαστον, ἀλλὰ κοινωνικὸν καὶ πολιτικόν, καὶ διὰ τοῦτο αὐτῷ καὶ πατρίδος ἐπιμελεῖσθαι προσήκει καὶ νόμων καὶ πολιτείας. καὶ ταῦτα οὐ διδάσκειν μόνον, ἀλλὰ καὶ αὐτουργεῖν οὐκ ἀπώκνουν. ὥστε καὶ τὰ μὲν συγγράμματα ἐκείνων ἑκάστου εὑρήσεις ἐνδύναμα ῥήμασιν, ἔργα δὲ ἀμήχανα ὅσα, πρεσβείας καὶ στρατηγίας, ἐλευθερώσεις πατρίδος, γῆς ἐπικτήσεις.*

18 Diog. Laert. 1, 13 = Periand. Test. 16a

Dicta memorabilia

19a Stob. 3, 1 (π. ἀρετῆς), 172, III 120s H.

Πιττακὸς *Ὑρραδίου Λέσβιος ἔφη· καιρὸν γνῶθι. ὃ μέλλεις ποιεῖν, μὴ λέγε· ἀποτυχὼν γὰρ καταγελασθήσῃ. τοῖς ἐπιτηδείοις χρῶ. ὅσα νεμεσᾷς τῷ πλησίον, αὐτὸς μὴ ποίει. ἀπραγοῦντα μὴ ὀνείδιζε· ἐπὶ γὰρ τούτοις νέμεσις θεῶν κάθηται. παρακαταθήκας ἀπόδος. ἀνέχου ὑπὸ τῶν πλησίον μικρὰ ἐλαττούμενος. τὸν φίλον κακῶς μὴ λέγε, μηδ' εὖ τὸν ἐχθρόν· ἀσυλλόγιστον γὰρ τὸ τοιοῦτον. δεινὸν συνιδεῖν τὸ μέλλον, ἀσφαλὲς τὸ γενόμενον. πιστὸν γῆ, ἄπιστον θάλασσα. ἄπληστον κέρδος. κτῆσαι ἀίδια· θεραπείαν, εὐσέβειαν, παιδείαν, σωφροσύνην, φρόνησιν, ἀλήθειαν, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρείαν, ἐπιμέλειαν, οἰκονομίαν, τέχνην.* cf. 3, 1 (π. ἀρετῆς), 94, III 36 H.; 3, 10 (π. ἀδικίας), 47, III 420 H.; Clem. Alex. Strom. 1, 14, 61; Auson. Lud. sept. sap. 59–61. 202ss; Test. 1, 6s; 3, 35ss.

16 12 cf. Test. 20 || **19a** 1 *ὑρράδου* M A[ac] *ὕρρα* A[pc]Br (cod. Bruxell. 11360, saec. XIV): *Ὑρραδίου* Hense

19b Stob. 3, 9 (π. δικαιοσύνης), 31, III 357 H.

Πιττακοῦ. Πιττακὸς ἔφη 'ἡδονὴ σὺν τῷ καλῷ δίκαιον'.

19c Stob. 4, 22 (π. γάμου), 17, IV 497 H.

Πιττακοῦ. ⟨Πιττακὸς⟩ ἐπύθετό τινος διότι οὐ βούλεται γῆμαι· τοῦ δὲ φήσαντος 'ἐὰν μὲν καλὴν γήμω, ἕξω κοινήν, ἐὰν δὲ αἰσχράν, ἕξω ποινήν', 'οὐμενοῦν' ἔφη 'ἀλλ' ἐὰν μὲν καλὴν γήμῃς, οὐχ ἕξεις ποινήν, ἐὰν δὲ αἰσχράν, οὐχ ἕξεις κοινήν'.

19d Stob. 4, 25 (ὅτι χρὴ τοὺς γονεῖς κτλ.), 41, IV 628 H.

Πιττακοῦ. Πιττακὸς παρακαλούμενος υἱῷ καὶ πατρὶ διαιτῆσαι εἶπε πρὸς τὸν υἱόν· 'εἰ μὲν ἀδικώτερα μέλλεις λέγειν τοῦ πατρός, κατακριθήσῃ· εἰ δὲ δικαιότερα, διὰ τοῦτο αὐτὸ ἄξιος εἶ κατακριθῆναι'.

20 Anth. P. 9, 366, 5

Πιττακὸς Οὐδὲν ἄγαν, ὃς ἔην γένος ἐκ Μυτιλήνης.
cf. Paus. 10, 24, 1.

Veterum iudicia

21 Diod. 9, 11

ὅτι Πιττακὸς ὁ Μιτυληναῖος οὐ μόνον ἐν σοφίᾳ θαυμαστὸς ἦν, ἀλλὰ καὶ πολίτης ἐγένετο τοιοῦτος οἷον ἕτερον οὐκ ἤνεγκεν ἡ νῆσος, δοκῶ δ' οὐδ' ἂν ὕστερον ἐνέγκαι, μέχρι ἂν τὸν οἶνον φέρῃ πλείω τε καὶ ἡδίω. νομοθέτης τε γὰρ ἀγαθὸς ὑπῆρχε κἀν τοῖς κατὰ μέρος πρὸς τοὺς πολίτας κοινὸς καὶ φιλάνθρωπος, καὶ τὴν πατρίδα τριῶν τῶν μεγίστων συμφορῶν ἀπέλυσε, τυραννίδος, στάσεως, πολέμου. ὅτι Πιττακὸς βαθὺς ἦν καὶ ἥμερος καὶ τὴν παραίτησιν ἔχων αὐτὸς ἐν αὐτῷ. διὸ δὴ πᾶσιν ἐδόκει τέλειος ἀνὴρ εἶναι πρὸς πᾶσαν ἀρετὴν ὁμολογουμένως· κατὰ μὲν γὰρ τὴν νομοθεσίαν ἐφαίνετο πολιτικὸς καὶ φρόνιμος, κατὰ δὲ τὴν πίστιν δίκαιος, κατὰ δὲ τὴν ἐν τοῖς ὅπλοις ὑπεροχὴν ἀνδρεῖος, κατὰ δὲ τὴν πρὸς τὸ κέρδος μεγαλοψυχίαν ἀφιλάργυρος.

Fortuna

22 Plut. Sept. sap. conv. 14 p. 157d

ἐπιστήσαντος δὲ τοῦ λόγου τὸ συμπόσιον ὁ μὲν Θαλῆς ἐπισκώπτων εὖ φρονεῖν ἔφη τὸν Ἐπιμενίδην ὅτι μὴ βούλεται πράγματα ἔχειν ἀλῶν τὰ

σιτία καὶ πέττων ἑαυτῷ, καθάπερ Πιττακός. 'ἐγὼ γάρ' εἶπε 'τῆς ξένης ἤκουον ᾀδούσης πρὸς τὴν μύλην, ἐν Ἐρέσῳ γενόμενος (fr. 869 P.),

'ἄλει μύλα ἄλει·
καὶ γὰρ Πιττακὸς ἄλει
μεγάλας Μυτιλάνας βασιλεύων.'

cf. Aelian. V. H. 7, 4 *Πιττακὸς πάνυ σφόδρα ἐπήνει τὴν μύλην, τὸ ἐγκώμιον αὐτῆς ἐκεῖνο ἐπιλέγων, ὅτι ἐν μικρῷ τόπῳ διαφόρως ἔστι γυμνάσασθαι. ἦν δέ τι ᾆσμα ἐπιμύλιον οὕτω καλούμενον.* Clem. Alex. Paedag. 3, 10, 50 *Πιττακὸς ... ἤληθεν ὁ Μιτυληναίων βασιλεὺς ἐνεργῷ γυμνασίῳ χρώμενος.* Isid. Pelus. Ep. 1 p. 470 (Patr. Gr. 78, 440b Migne) *Πιττακὸς καίτοι βασιλεὺς ὢν τὸν μύλωνα ηὐτούργει καὶ ἐνεργῶς γυμναζόμενος καὶ τὴν τροφὴν ἐργαζόμενος.* Test. 3, 85.

22 5 'si vere vetustum Lesbiumque, scribendum esset *μύλ' ἄλει*' Page | huius cantilenae metrum incertum: ut ionicos interpretati sunt O. Schroeder, Grundriss d. griech. Versgeschichte, Heidelberg 1930, 88 et Münscher 29 adn., ut ◡_ + 2 dim. an. Kalinka, Jahresb. 1937, 130; aliter Wil., Gr. Versk. 401, qui vv. 2–3 ita disponit: *καὶ γὰρ βασιλεύων / μεγάλας Μυτιλάνας / Πιττακὸς ἄλει* ut molaris cantilena constet ex 3 reiz. + adon.; nobis autem vv. 2–3 videntur pherecrat. | an. + adon.; de molaribus cantilenis vid. Aristoph. Nub. 1358 et H. Blümner, Technologie I 32 adn. 4 et 5

ECHEMBROTVS

Arcas — saec. VI pars prior

TESTIMONIVM VITAE ATQVE ARTIS

Paus. 10, 7, 4ss

τῆς δὲ τεσσαρακοστῆς ὀλυμπιάδος καὶ ὀγδόης, ἣν Γλαυκίας ὁ Κροτωνιάτης ἐνίκησε, ταύτης ἔτει τρίτῳ (586 a. C.) ἆθλα ἔθεσαν οἱ Ἀμφικτύονες κιθαρῳδίας μὲν καθὰ καὶ ἐξ ἀρχῆς, προσέθεσαν δὲ καὶ αὐλῳδίας ἀγώνισμα καὶ αὐλῶν· ἀνηγορεύθησαν δὲ νικῶντες Κεφαλλήν τε Μελάμπους κιθαρῳδίᾳ καὶ αὐλῳδὸς Ἀρκὰς Ἐχέμβροτος, Σακάδας δὲ Ἀργεῖος (Test. 1) ἐπὶ τοῖς αὐλοῖς· ... δευτέρᾳ δὲ πυθιάδι οὐκ ἐπὶ ἄθλοις ἐκάλεσαν ἔτι ἀγωνίζεσθαι, στεφανίτην δὲ τὸν ἀγῶνα ἀπὸ τούτου κατεστήσαντο· καὶ αὐλῳδίαν ⟨τό⟩τε κατέλυσαν, καταγνόντες οὐκ εἶναι τὸ ἄκουσμα εὔφημον· ἡ γὰρ αὐλῳδία μέλη τε ἦν αὐλῶν τὰ σκυθρωπότατα καὶ ἐλεγεῖα {θρῆνοι} προσᾳδόμενα τοῖς αὐλοῖς. μαρτυρεῖ δέ μοι καὶ τοῦ Ἐχεμβρότου τὸ ἀνάθημα, τρίπους χαλκοῦς ἀνατεθεὶς τῷ Ἡρακλεῖ τῷ ἐν Θήβαις· ἐπίγραμμα δὲ ὁ τρίπους εἶχεν·

Ἐχέμβροτος Ἀρκὰς
θῆκε τῷ Ἡρακλεῖ,
νικάσας τόδ' ἄγαλμ'
  Ἀμφικτυόνων ἐν ἀ⟨έ⟩θλοις,
Ἕλλασι δ' ἀείδων
μέλεα καὶ ἐλέγους.

κατὰ τοῦτο μὲν τῆς αὐλῳδίας ἐπαύσθη τὸ ἀγώνισμα.

8 ⟨τό⟩τε Dind., Spiro || 13–18 metrum dactyl.-epitr. videtur: reiz. (∪–∪∪––) / hem. (–∪∪–––) / hem. (–––∪∪–) enh. (––∪∪–∪∪––) / reiz. (∪–∪∪––) / hypodo. (∪∪∪–∪–, cf. Pind. Pyth. 9 str. 2 –∪–––), vid. Gent., Epigramma 50, Gall., Metri 108, West, Studies 5 (metr. aeol.) et Ebert 254 qui *νικάσας ... ἐλέγους* in elegiacum metrum redigit, sed cf. Bgk. 203 adn., Page, The Elegiacs 217 adn. 1, Dover, The Poetry 188 adn. 2 || 15 *ἄγαλμα* codd.: *ἄγαλμ'* West et Gall. || 16 *ἄθλοις* codd.: corr. Ignarra || 17 *Ἕλλασιν ἀείδων* Ebert, sed *δ' ἀείδων* defendunt Bgk.[4] alii

SACADAS

Argivus — saec. VI pars prior

TESTIMONIA VITAE ATQVE ARTIS

Chronographia

1 Paus. 10, 7, 4

τῆς δὲ τεσσαρακοστῆς ὀλυμπιάδος καὶ ὀγδόης (588 a. C.), *ἣν Γλαυκίας ὁ Κροτωνιάτης ἐνίκησε, ταύτης ἔτει τρίτῳ* (586 a. C.) *ἆθλα ἔθεσαν οἱ Ἀμφικτύονες κιθαρῳδίας μὲν καθὰ καὶ ἐξ ἀρχῆς, προσέθεσαν δὲ καὶ αὐλῳδίας ἀγώνισμα καὶ αὐλῶν· ἀνηγορεύθησαν δὲ νικῶντες Κεφαλλήν τε Μελάμπους κιθαρῳδίᾳ καὶ αὐλῳδὸς Ἀρκὰς Ἐχέμβροτος* (Test. 1), *Σακάδας δὲ Ἀργεῖος ἐπὶ τοῖς αὐλοῖς· ἀνείλετο δὲ ὁ Σακάδας οὗτος καὶ ἄλλας δύο τὰς ἐφεξῆς ταύτης πυθιάδας.* (582; 578 a. C.). cf. 6, 14, 9–10.

Nomen

2 Herodian. *π. κλίσεως ὀνομάτων* II 651, 32 Lentz

τὰ εἰς δας λήγοντα ὑπὲρ δύο συλλαβὰς ἰσοσυλλάβως κλίνεται, οἷον Σακάδας Σακάδα, ... cf. 656, 7; de accentu cf. Herodian. *π. καθολ. προσῳδ. B* I 54, 7 Lentz et Athen. 9 p. 388b.

Vita et opera

3 Ps.-Plut. De mus. 8 p. 1134ab

γέγονε δὲ καὶ Σακάδας ⟨ὁ⟩ Ἀργεῖος ποιητὴς μελῶν τε καὶ ἐλεγείων μεμελοποιημένων· ὁ δ᾽ αὐτὸς καὶ αὐλητὴς ἀγαθὸς καὶ τὰ Πύθια τρὶς νενικηκὼς ἀναγέγραπται (cf. Test. 1; 7)· *τούτου καὶ Πίνδαρος μνημονεύει* (fr. 269 Sn.-Maehl.)· *τόνων γοῦν τριῶν ὄντων κατὰ Πολύμνηστον* (Test. 5) *καὶ Σακάδαν, τοῦ τε Δωρίου καὶ Φρυγίου καὶ Λυδίου, ἐν ἑκάστῳ τῶν εἰρημένων τόνων στροφὴν ποιήσαντά φασι τὸν Σακάδαν διδάξαι ᾄδειν τὸν χορὸν Δωριστὶ μὲν τὴν πρώτην, Φρυγιστὶ δὲ τὴν δευτέραν, Λυδιστὶ δὲ τὴν τρίτην· καλεῖσθαι δὲ Τριμελῆ τὸν νόμον τοῦτον διὰ τὴν μεταβολήν.* quae sequuntur vid. ad Clon. Test. 3.

3 1 *ὁ* add. Westph. | *μελῶν*] *ἐπῶν* W.-Rein. || 2 *αὐλητῆς*] *ποιητὴς* codd.: corr. Wytt. || 8 *τριμερῆ* codd.: corr. Burette

4 Ps.-Plut. De mus. 9 p. 1134bc

ἡ μὲν οὖν πρώτη κατάστασις τῶν περὶ τὴν μουσικὴν ἐν τῇ Σπάρτῃ, Τερπάνδρου καταστήσαντος, γεγένηται· τῆς δὲ δευτέρας Θαλήτας τε ὁ Γορτύνιος καὶ Ξενόδαμος ὁ Κυθήριος καὶ Ξενόκριτος ὁ Λοκρὸς καὶ Πολύμνηστος ὁ Κολοφώνιος (Test. 5) *καὶ Σακάδας ὁ Ἀργεῖος μάλιστα αἰτίαν ἔχουσιν ἡγεμόνες γενέσθαι· τούτων γὰρ εἰσηγησαμένων τὰ περὶ τὰς Γυμνοπαιδίας τὰς ἐν Λακεδαίμονι λέγεται κατασταθῆναι, τὰ περὶ τὰς Ἀποδείξεις τὰς ἐν Ἀρκαδίᾳ, τῶν τε ἐν Ἄργει τὰ Ἐνδυμάτια καλούμενα. ἦσαν δ' οἱ μὲν περὶ Θαλήταν τε καὶ Ξενόδαμον καὶ Ξενόκριτον ποιηταὶ παιάνων, οἱ δὲ περὶ Πολύμνηστον τῶν Ὀρθίων καλουμένων, οἱ δὲ περὶ Σακάδαν ἐλεγείων.*

5 cf. Polymn. Test. 6

6 Hesych. *Σακάδ(ε)ιον*

εἶδος μουσικοῦ ὀργάνου

De Pythico cantu tibiis modulato a Sacada invento

7 Paus. 2, 22, 8–9

ὀλίγον δὲ τῆς ἐπὶ Κυλάραβιν καὶ τὴν ταύτῃ πύλην ἀποτραπεῖσι Σακάδα μνῆμά ἐστιν, ὅς τὸ αὔλημα τὸ Πυθικὸν πρῶτος ηὔλησεν ἐν Δελφοῖς· καὶ τὸ ἔχθος τὸ Ἀπόλλωνι διαμένον ἐς τοὺς αὐλητὰς ἔτι ἀπὸ Μαρσύου καὶ τῆς ἁμίλλης τοῦ Σιληνοῦ παυθῆναι διὰ τοῦτον δοκεῖ τὸν Σακάδαν.

Fortuna

8 Paus. 4, 27, 7

εἰργάζοντο δὲ καὶ ὑπὸ μουσικῆς ἄλλης μὲν οὐδεμιᾶς, αὐλῶν δὲ Βοιωτίων καὶ Ἀργείων· τά τε Σακάδα καὶ Προνόμου μέλη τότε δὴ προήχθη μάλιστα ἐς ἅμιλλαν.

9 Paus. 9, 30, 2

ποιητὰς δὲ ἢ καὶ ἄλλως ἐπιφανεῖς ἐπὶ μουσικῇ, τοσῶνδε εἰκόνας ἀνέθε-

4 6s *καὶ τὰ περὶ τὰς Ἀποδ.* cod. F 5, quod accepit Ziegler, *τά ⟨τε⟩ περὶ* Bgk. || 6 ad rem vid. Hiller 84; Jan 384 || 7 1 nomen gymnasii Argivi quo erat sepulcrum Sacada || 2 ad *αὔλημα τὸ Πυθικὸν* vid. Poll. 4, 78; 4, 84; Strab. 9, 3, 10 p. 421–422; Schol. Pind. Hypoth. Pyth. (II 1ss Drachm.); Hiller 79ss || 8 agitur de urbe Messene ab Epaminonda iterum condita a. 369 a. C., cf. Diod. 15, 66, 1ss || 9 hoc testimonium explicavit Hiller 76

σαν (scil. *ἐν Ἑλικῶνι*) . . . *ὁ δὲ Σακάδα τοῦ Ἀργείου τὸν ἀνδριάντα πλάσας, οὐ συνεὶς Πινδάρου τὸ ἐς αὐτὸν προοίμιον* (fr. 269 Sn.-Maehl.), *ἐποίησεν οὐδὲν ἐς τὸ μῆκος τοῦ σώματος εἶναι τῶν αὐλῶν μείζονα τὸν αὐλητήν.*

Dubium

10 Athen. 13 p. 610c

καὶ ἐὰν μέν τίς σου πύθηται τίνες ἦσαν οἱ εἰς τὸν δούρειον ἵππον ἐγκατακλεισθέντες, ἑνὸς καὶ δευτέρου ἴσως ἐρεῖς ὄνομα· καὶ οὐδὲ ταῦτ' ἐκ τῶν Στησιχόρου, σχολῇ γάρ, ἀλλ' ἐκ τῆς †σακατου† Ἀργείου Ἰλίου Πέρσιδος· οὗτος γὰρ παμπόλλους τινὰς κατέλεξεν.

10 3 *τῆς Σακάδα τοῦ Ἀργείου* Casaub., Bgk. *τῆς Ἀγία τοῦ Ἀργείου* C. F. Herm. probb. Hiller 87s, Mancuso 160

BIAS

Prienensis saec. VI

TESTIMONIA

Biantem elegias cantitasse valde incertum; etenim verbum *ἔπη*, a Diog. Laert. traditum (cf. Test. 1, 41), ad carmen vel elegiacum vel epicum vel etiam melicum referri potest; an ⟨*ἐλεγεῖα*⟩ *εἰς ἔπη δισχ.* scribendum (cf. Chil. Test. 2, 1 s)?

1 Diog. Laert. 1, 82 ss

(82) *Βίας Τευτάμου Πριηνεύς, προκεκριμένος τῶν ἑπτὰ ὑπὸ Σατύρου* (FHG III fr. 162 Müller). *τοῦτον οἱ μὲν πλούσιον, Δοῦρις δὲ* (FGrHist 76 F 76) *πάροικόν φησι γεγονέναι. Φανόδικος δὲ* (FGrHist 397 F 4b) *κόρας αἰχμαλώτους λυτρωσάμενον Μεσσηνίας θρέψαι τε ὡς θυγατέρας καὶ προῖκας ἐπιδοῦναι καὶ εἰς τὴν Μεσσήνην ἀποστεῖλαι τοῖς πατράσιν αὐτῶν. χρόνῳ δὲ ἐν ταῖς Ἀθήναις, ὡς προείρηται, τοῦ τρίποδος εὑρεθέντος ὑπὸ τῶν ἁλιέων τοῦ χαλκοῦ, ἐπιγραφὴν ἔχοντος 'τῷ σοφῷ', Σάτυρος μέν φησι παρελθεῖν τὰς κόρας — οἱ δὲ τὸν πατέρα αὐτῶν, ὡς καὶ Φανόδικος — εἰς τὴν ἐκκλησίαν, καὶ εἰπεῖν τὸν Βίαντα σοφόν, διηγησαμένας τὰ καθ' ἑαυτάς. καὶ ἀπεστάλη ὁ τρίπους· καὶ ὁ Βίας ἰδὼν ἔφη τὸν Ἀπόλλω σοφὸν εἶναι, οὐδὲ προσήκατο.* (83) *οἱ δὲ λέγουσιν ἐν Θήβαις τῷ Ἡρακλεῖ αὐτὸν ἀναθεῖναι, ἐπεὶ ἀπόγονος ἦν Θηβαίων ἀποικίαν εἰς Πριήνην στειλάντων, ὥσπερ καὶ Φανόδικός φησι. λέγεται δὲ καὶ Ἀλυάττου πολιορκοῦντος Πριήνην τὸν Βίαντα πιήναντα δύο ἡμιόνους ἐξελάσαι εἰς τὸ στρατόπεδον· τὸν δὲ συνιδόντα καταπλαγῆναι* ⟨*τὸ*⟩ *μέχρι καὶ ἀλόγων διατείνειν αὐτῶν τὴν εὐθένειαν. καὶ ἐβουλήθη σπείσασθαι, καὶ εἰσέπεμψεν ἄγγελον. Βίας δὲ σωροὺς ψάμμου χέας καὶ ἄνωθεν σῖτον περιχέας ἔδειξε τῷ ἀνθρώπῳ· καὶ τέλος μαθὼν ὁ Ἀλυάττης εἰρήνην ἐσπείσατο πρὸς τοὺς Πριηνέας. θᾶττον δ' αὐτῷ πέμψαντι πρὸς τὸν Βίαντα ἵνα ἥκοι παρ' αὐτόν, 'ἐγὼ δέ', φησίν, 'Ἀλυάττῃ κελεύω κρόμμυα ἐσθίειν* {*ἴσον τῷ κλαίειν*}'. (84) *λέγεται δὲ καὶ δίκας δεινότατος γεγονέναι εἰπεῖν. ἐπ' ἀγαθῷ μέντοι τῇ τῶν λόγων ἰσχύι προσεχρῆτο. ὅθεν καὶ Δημόδοκος ὁ Λέριος τοῦτο αἰνίττεται λέγων* (fr. 2)·

ἢν τύχῃς τίνων δικάζευ τὴν Πριηνίην δίκην.

καὶ Ἱππῶναξ α' (*ἃ* codd.: corr. Mein.; fr. 12 Degani = 123 West)·

καὶ δικάζεσθαι Βίαντος τοῦ Πριηνέως κρεῖσσον.

τοῦτον οὖν καὶ ἐτελεύτα τὸν τρόπον. δίκην γὰρ ὑπέρ τινος λέξας ἤδη

4 ss cf. Diod. 9, 13, 1 || 6 ss cf. Diod. 9, 13, 2 || 19 ss vid. Pitt. Test. 14 et Suda s. v. *κρόμμυα ἐσθίειν* (III 279, 4 ss Adler) || 21 secl. Hübner

ὑπέργηρως ὑπάρχων, μετὰ τὸ καταπαῦσαι τὸν λόγον ἀπέκλινε τὴν κεφαλὴν εἰς τοὺς τοῦ τῆς θυγατρὸς υἱοῦ κόλπους· εἰπόντος δὲ καὶ τοῦ δι' ἐναντίας καὶ τῶν δικαστῶν τὴν ψῆφον ἐνεγκόντων τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ, λυθέντος τοῦ δικαστηρίου νεκρὸς ἐν τοῖς κόλποις εὑρέθη. (85) καὶ αὐτὸν μεγαλοπρεπῶς ἔθαψεν ἡ πόλις, καὶ ἐπέγραψαν (Anth. P. 7, 90)·

κλεινοῖς ἐν δαπέδοισι Πριήνης φύντα καλύπτει
ἥδε Βίαντα πέτρη, κόσμον Ἴωσι μέγαν.

ἀλλὰ καὶ ἡμεῖς (Anth. P. 7, 91)·

τῇδε Βίαντα κέκευθα, τὸν ἀτρέμας ἤγαγεν Ἑρμῆς
εἰς Ἀίδην, πολιῷ γήραϊ νιφόμενον.
εἶπε γάρ, εἶπε δίκην ἑτάρου τινός· εἶτ' ἀποκλινθεὶς
παιδὸς ἐς ἀγκαλίδας μακρὸν ἔτεινεν ὕπνον.

ἐποίησε δὲ περὶ Ἰωνίας, τίνα μάλιστα ἂν τρόπον εὐδαιμονοίη, εἰς ἔπη δισχίλια. τῶν δὲ ᾀδομένων αὐτοῦ εὐδοκίμησε τάδε (Scol. Lobon. 35 D.)·

Ἀστοῖσιν ἄρεσκε πᾶσιν ἐν πόλει αἴ κε μένῃς·
πλείσταν γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος
πολλάκις βλαβερὰν ἐξέλαμψεν ἄταν.

(86) καὶ τὸ μὲν ἰσχυρὸν γενέσθαι τῆς φύσεως ἔργον· τὸ δὲ λέγειν δύνασθαι τὰ συμφέροντα τῇ πατρίδι ψυχῆς ἴδιον καὶ φρονήσεως. εὐπορίαν δὲ χρημάτων πολλοῖς καὶ διὰ τύχην περιγίνεσθαι. ἔλεγε δὲ ἀτυχῆ εἶναι τὸν ἀτυχίαν μὴ φέροντα· καὶ νόσον ψυχῆς τὸ τῶν ἀδυνάτων ἐρᾶν, ἀλλοτρίων δὲ κακῶν ἀμνημόνευτον εἶναι. ἐρωτηθεὶς τί δυσχερές, 'τὴν ἐπὶ τὸ χεῖρον' ἔφη 'μεταβολὴν εὐγενῶς ἐνεγκεῖν'. συμπλέων ποτὲ ἀσεβέσι, χειμαζομένης τῆς νεὼς κἀκείνων τοὺς θεοὺς ἐπικαλουμένων, 'σιγᾶτε', ἔφη, 'μὴ αἴσθωνται ὑμᾶς ἐνθάδε πλέοντας'. ἐρωτηθεὶς ὑπὸ ἀσεβοῦς ἀνθρώπου τί ποτέ ἐστιν εὐσέβεια, ἐσίγα. τοῦ δὲ τὴν αἰτίαν τῆς σιγῆς πυθομένου, 'σιωπῶ', ἔφη, 'ὅτι περὶ τῶν οὐδέν σοι προσηκόντων πυνθάνῃ'. (87) ἐρωτηθεὶς τί γλυκὺ ἀνθρώποις, 'ἐλπίς' ἔφη. ἥδιον ἔλεγε δικάζειν μεταξὺ ἐχθρῶν ἢ φίλων· τῶν μὲν γὰρ φίλων πάντως ἐχθρὸν ἔσεσθαι τὸν ἕτερον, τῶν δὲ ἐχθρῶν τὸν ἕτερον φίλον. ἐρωτηθεὶς τί ποιῶν ἄνθρωπος τέρπεται, ἔφη 'κερδαίνων'. ἔλεγέ τε τὸν βίον οὕτω μετρεῖν ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσομένους, καὶ φιλεῖν ὡς μισήσοντας· τοὺς γὰρ

39 εὖτε γὰρ εἶπε Richards 345, recte obl. M. Gigante, Diogene Laerzio. Vite dei filosofi II, Roma – Bari 1976, 466 adn. 230, cf. Diog. Laert. 5, 40, 19s (= Anth. P. 7, 110, 3s) || 43–45 ad metrum cf. Pellizer–Tedeschi 15 || 43 ἀρέσκεο Bgk. | post πόλει lac. statuerunt Casaub., Menagius alii | ᾗκε Bgk. || 45 πόλλακι P, Long πολλάκι δὲ C. F. Hermann, Bgk. || 56ss ad dicta memorabilia cf. Stob. 3, 1 (π. ἀρετῆς), 172, III 121ss H. et Cic. Parad. Stoic. 1, 8–9

πλείστους εἶναι κακούς. συνεβούλευέ τε ὧδε· ʽβραδέως ἐγχείρει τοῖς πραττομένοις· ὃ δ᾽ ἂν ἕλῃ, βεβαίως τηρῶν διάμενε. μὴ ταχὺ λάλει· (88) μανίαν γὰρ ἐμφαίνει. φρόνησιν ἀγάπα. περὶ θεῶν λέγε ὡς εἰσίν. ἀνάξιον ἄνδρα μὴ ἐπαίνει διὰ πλοῦτον. πείσας λαβέ, μὴ βιασάμενος. ὅ τι ἂν ἀγαθὸν πράττῃς, εἰς θεοὺς ἀνάπεμπε. ἐφόδιον ἀπὸ νεότητος εἰς γῆρας ἀναλάμβανε σοφίαν· βεβαιότερον γὰρ τοῦτο τῶν ἄλλων κτημάτων.᾽ μέμνηται τοῦ Βίαντος καὶ Ἱππῶναξ, ὡς προείρηται, καὶ ὁ δυσάρεστος Ἡράκλειτος (22 B 39 D.-K.) *μάλιστα αὐτὸν ἐπήνεσε γράψας· ἐν Πριήνῃ Βίας ἐγένετο ὁ Τευτάμεω, οὗ πλέων λόγος ἢ τῶν ἄλλων. καὶ οἱ Πριηνεῖς δὲ αὐτῷ τέμενος καθιέρωσαν τὸ Τευτάμειον λεγόμενον. ἀπεφθέγξατο· οἱ πλεῖστοι κακοί.*

CHILON

Lacedaemonius — saec. VI

TESTIMONIA VITAE ATQVE OPERIS

Chronographia

1 Hieronym. Chron. Ol. 56 = 556–553 a. C. (102b, 25s Helm)

Chilo, qui de septem sapientibus fuit, *ἔφορος* in Lacedaemone constituitur.

Vita atque opus

2 Diog. Laert. 1, 68–73

(68) *Χίλων Δαμαγήτου Λακεδαιμόνιος. οὗτος ἐποίησεν ἐλεγεῖα εἰς ἔπη διακόσια, καὶ ἔφασκε πρόνοιαν περὶ τοῦ μέλλοντος λογισμῷ καταληπτὴν εἶναι ἀνδρὸς ἀρετήν. πρός τε τὸν ἀδελφὸν δυσφοροῦντα ὅτι μὴ ἔφορος ἐγένετο, αὐτοῦ ὄντος, 'ἐγὼ μὲν γὰρ ἐπίσταμαι' εἶπεν 'ἀδικεῖσθαι, σὺ δὲ οὔ'. γέγονε δὲ ἔφορος* (FGrHist 244 F 335c) *κατὰ τὴν πεντηκοστὴν ἕκτην Ὀλυμπιάδα* (556–553 a. C.) – *Παμφίλη δέ φησι κατὰ τὴν πέμπτην* (560–557 a. C.) – *καὶ πρῶτον ἔφορον γενέσθαι ἐπὶ Εὐθυδήμου* (556–555 vel 555–554 a. C.), *ὥς φησι Σωσικράτης* (FHG IV 502 fr. 12 Müller). *καὶ πρῶτος εἰσηγήσατο ἐφόρους τοῖς βασιλεῦσι παραζευγνύναι· Σάτυρος δὲ Λυκοῦργον* (FHG III 162 fr. 8 Müller). *οὗτος, ὥς φησιν Ἡρόδοτος ἐν τῇ πρώτῃ* (59), *Ἱπποκράτει θυομένῳ ἐν Ὀλυμπίᾳ, τῶν λεβήτων αὐτομάτων ζεσάντων, συνεβούλευσεν ἢ μὴ γῆμαι ἤ, εἰ ἔχοι γυναῖκα, ἐκπέμψαι καὶ παῖδας ἀπείπασθαι.* (69) *φασὶ δ' αὐτὸν καὶ Αἰσώπου* (Sent. 9 Perry) *πυθέσθαι, ὁ Ζεὺς τί εἴη ποιῶν· τὸν δὲ φάναι 'τὰ μὲν ὑψηλὰ ταπεινοῦν, τὰ δὲ ταπεινὰ ὑψοῦν'. ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ἔφη 'ἐλπίσιν ἀγαθοῖς'. τί δύσκολον, 'τὸ τὰ ἀπόρρητα σιωπῆσαι, καὶ σχολὴν εὖ διαθέσθαι, καὶ ἀδικούμενον δύνασθαι φέρειν'. προσέταττε δὲ καὶ ταῦτα· γλώττης κρατεῖν, καὶ μάλιστα ἐν συμποσίῳ. μὴ κακολογεῖν τοὺς πλησίον· εἰ δὲ μή, ἀκούσεσθαι*

2 5s cf. Test. 1 || 7 *πέμπτην* F *ἕκτην* BP, quod acc. F. Jacoby, Apollodors Chronik, München 1902, 183ss, qui aliter interpunxit et interpretatus est, prob. Long; *πέμπτην* iam Scaliger | *πρῶτον* scil. primum ephorus fuit (E. Meyer, Forschungen zur alten Geschichte I, Halle 1892, 246, adn. 1) vel princeps eph. fuit i. e. *ἔφορος ἐπώνυμος* || 13s *αὐτοῦ καὶ Αἴσωπον* Reiske ap. Diels, Hermes 1889, 306, prob. E. Mensching, Gnomon 35, 1963, 662 || 15 *ταπεινοῦν . . . ὑψοῦν* codd.: *ταπεινῶν . . . ὑψῶν* Cob. || 15ss ad Chil. dicta memorabilia vid. Test. 10–12

ἐφ' οἷς λυπήσεσθαι. (70) *μὴ ἀπειλεῖν μηδενί· γυναικῶδες γάρ. ταχύτερον ἐπὶ τὰς ἀτυχίας τῶν φίλων ἢ ἐπὶ τὰς εὐτυχίας πορεύεσθαι. γάμον εὐτελῆ ποιεῖσθαι. τὸν τεθνηκότα μὴ κακολογεῖν. γῆρας τιμᾶν. φυλάττειν ἑαυτόν. ζημίαν αἱρεῖσθαι μᾶλλον ἢ κέρδος αἰσχρόν· ἡ μὲν γὰρ ἅπαξ ἐλύπησε, τὸ δὲ διὰ παντός. ἀτυχοῦντι μὴ ἐπιγελᾶν. ἰσχυρὸν ὄντα πρᾶον εἶναι, ὅπως οἱ πλησίον αἰδῶνται μᾶλλον ἢ φοβῶνται. μανθάνειν τῆς αὑτοῦ οἰκίας καλῶς προστατεῖν. τὴν γλῶτταν μὴ προτρέχειν τοῦ νοῦ. θυμοῦ κρατεῖν. μαντικὴν μὴ ἐχθαίρειν. μὴ ἐπιθυμεῖν ἀδυνάτων. ἐν ὁδῷ μὴ σπεύδειν. λέγοντα μὴ κινεῖν τὴν χεῖρα· μανικὸν γάρ. νόμοις πείθεσθαι. ἠρεμίᾳ χρῆσθαι.* (71) *τῶν δὲ ᾀδομένων αὐτοῦ μάλιστα εὐδοκίμησεν ἐκεῖνο* (Scol. Lobon. 33 D.)·

Ἐν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται,
διδοὺς βάσανον φανεράν· ἐν δὲ χρυσῷ
ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ' ἔλεγχον.

φασὶ δ' αὐτόν ποτε γηραιὸν ἤδη ὄντα εἰπεῖν ὡς οὐδὲν συνειδείη ἄνομον ἑαυτῷ ἐν τῷ βίῳ· διστάζειν δὲ περὶ ἑνός. κρίνων γάρ ποτε φίλῳ δίκην αὐτὸς μὲν κατὰ τὸν νόμον, τὸν δὲ φίλον πείσειεν ἀποδικάσαι αὐτοῦ, ἵνα ἀμφότερα καὶ τὸν νόμον καὶ τὸν φίλον τηρήσαι. ἐνδοξότατος δὲ μάλιστα παρὰ τοῖς Ἕλλησιν ἐγένετο προειπὼν περὶ Κυθήρων τῆς νήσου τῆς Λακωνικῆς. καταμαθὼν γὰρ τὴν φύσιν αὐτῆς, 'εἴθε' ἔφη 'μὴ ἐγεγόνει, ἢ γενομένη κατεβυθίσθη'. (72) *καὶ εὖ προὐνοήσατο, Δημάρατος μὲν γὰρ φυγὰς ὢν Λακεδαιμονίων Ξέρξῃ συνεβούλευσε τὰς ναῦς συνέχειν ἐν τῇ νήσῳ· κἂν ἑαλώκει ἡ Ἑλλάς, εἰ ἐπείσθη Ξέρξης. ὕστερόν τε Νικίας ἐπὶ τῶν Πελοποννησιακῶν καταστρεψάμενος τὴν νῆσον, φρουρὸν ἐγκατέστησεν Ἀθηναίων, καὶ πάμπολλα τοὺς Λακεδαιμονίους κακὰ διέθηκε. βραχυλόγος τε ἦν· ὅθεν καὶ Ἀρισταγόρας ὁ Μιλήσιος* (FGrHist 608 F 11) *τοῦτον τὸν τρόπον Χιλώνειον καλεῖ.* *** *Βράγχου δὲ εἶναι, ὃς τὸ ἱερὸν ἔκτισε τὸ ἐν Βραγχίδαις. ἦν δὲ γέρων περὶ τὴν πεντηκοστὴν δευτέραν Ὀλυμπιάδα* (572–569 a. C.), *ὅτε Αἴσωπος ὁ λογοποιὸς ἤκμαζεν. ἐτελεύτησε δ', ὥς φησιν Ἕρμιππος* (fr.12 Wehrli), *ἐν Πίσῃ, τὸν υἱὸν Ὀλυμπιονίκην ἀσπασάμενος πυγμῆς. ἔπαθε δὴ τοῦτο ὑπερβολῇ τε χαρᾶς καὶ ἀσθενείᾳ πολυετίας. καὶ αὐτὸν πάντες οἱ κατὰ τὴν πανήγυριν ἐντιμότατα παρέπεμψαν. ἔστι δὲ καὶ εἰς τοῦτον ἐπίγραμμα ἡμῶν* (Anth. P. 7, 88)·

31ss metrum: hem. | 2 ia. || pros. | tr. || ^{H} enhopl. | ithyph. ||| || 31 ⟨*μὲν*⟩ post *ἐν* add. Bgk. || 32 *φοβεράν* **F** | *χρόνῳ* pro *χρυσῷ* Headlam, Class. Rev. 1900, 6s, cf. Pellizer–Tedeschi 10; 17 || 33 *κακῶν*] *πονηρῶν* **δ π** || 34ss cf. Aul. Gell. 1, 3, 1ss || 37ss cf. Herodt. 7, 235 || 46 cf. Suda s. v. *Χίλων* (IV 806, 30ss Adler) | *καί τινες* post *καλεῖ* **w** | lac. indicavit Menagius || 47 *δευτέραν*] *ἕκτην* **w** *πρώτην* **e h i y** || 50 *θεασάμενος* **δ π φ** | *πυγμῆς* om. **δ π φ**: fortasse *πυγμῆς* ⟨*ἕνεκα*⟩ Ebert | *πυγμῆς ἀσπ.* traiecit Menagius || 52 *ἐπίγραμμα* om. **B**

(73) *Φωσφόρε, σοί, Πολύδευκες, ἔχω χάριν, οὕνεκεν υἱὸς*
Χίλωνος πυγμῇ χλωρὸν ἕλεν κότινον.
εἰ δ' ὁ πατὴρ στεφανοῦχον ἰδὼν τέκνον ἤμυσεν ἡσθείς,
οὐ νεμεσητόν· ἐμοὶ τοῖος ἴτω θάνατος.

ἐπὶ δὲ τῆς εἰκόνος αὐτοῦ ἐπιγέγραπται τόδε (Anth. P. 9, 596)·

τόνδε δοριστέφανος Σπάρτα Χίλων' ἐφύτευσεν,
ὃς τῶν ἑπτὰ σοφῶν πρῶτος ἔφυ σοφίᾳ.

ἀπεφθέγξατο 'ἐγγύα, πάρα δ' ἄτα'. ἔστιν αὐτοῦ καὶ ἐπιστόλιον τόδε (I 193 Hercher)·

Χίλων Περιάνδρῳ

ἐπιστέλλεις ἐμὶν ἐκστρατείαν ἐπὶ ἐκδάμως, ὡς αὐτός κα ἐξέρποις· ἐγὼν δὲ δοκέω καὶ τὰ οἰκῆα σφαλερὰ ἦμεν ἀνδρὶ μονάρχῳ, καὶ τῆνον τυράννων εὐδαιμονίζω ὅστις κα οἴκοι ἐξ αὐτὸς αὐτῶ κατθάνῃ.

3 P. Rylands 18 col. II 12–23 saec. II a. C. ed. Hunt, Catal. of the Greek Pap. in the John Ryl. Libr. I (1911), 29ss

. . . *διαβὰς εἰς τὴν ἤπειρον [πο]λλὴν τῆς παραλί[ας ὑ]πωρίας ἔκτισ[εν]. Χίλων δὲ ὁ Λάκων ἐφορεύσας καὶ στρατ[ηγή]σας Ἀναξανδρίδη[ς τε] τὰς ἐν τοῖς Ἑλλ[ησ]ιν τ[υρα]ννίδας κατέλυσα[ν]· ἐν Σικυῶν[ι] μὲν Αἰ[σχ]ίνην, Ἱππίαν δὲ [Ἀθήνησιν] Πεισιστ[ρατ-]* . . .

4 Alcidamas Test. 14 Radermacher ap. Aristot. Rhet. 2 p. 1398b 9ss

ἄλλος ἐξ ἐπαγωγῆς (scil. *τόπος τῶν δεικτικῶν ἐνθυμημάτων*) . . . *καὶ ὡς Ἀλκιδάμας, ὅτι πάντες τοὺς σοφοὺς τιμῶσιν· Πάριοι γοῦν Ἀρχίλοχον* (Test. 6 Tard.) *καίπερ βλάσφημον ὄντα τετιμήκασι, καὶ Χῖοι Ὅμηρον οὐκ ὄντα πολίτην, καὶ Μυτιληναῖοι Σαπφῶ* (Test. 5 Gallavotti) *καίπερ γυναῖκα οὖσαν, καὶ Λακεδαιμόνιοι Χίλωνα καὶ τῶν γερόντων ἐποίησαν ἥκιστα φιλόλογοι ὄντες, καὶ Ἰταλιῶται Πυθαγόραν* (Test. 5 Timpanaro Cardini), *καὶ Λαμψακηνοὶ Ἀναξαγόραν* (Test. 23 Lanza) *ξένον ὄντα ἔθαψαν καὶ τιμῶσιν ἔτι καὶ νῦν.*

57 *αὐτῷ* **BP** ‖ 58 *Χείλωνα φύτευσεν* **B** et Anth. P. ‖ 62ss ad Periandrum et Chilonem cf. etiam Plut. Sept. sap. conv. 13 p. 155e. 156ef et Periand. Test. 17 ‖ 63 *ἀστρατ(ε)ίαν* codd.: corr. Casaub. | *καὶ* codd.: *κα* Cob. ‖ 65 *ἐξ*] *ἐν* Richards 344 | *αὐτῶ*] *αὐτοῦ* **FP** ‖ **3** supplementa sunt ed. pr.; post Hunt pap. ediderunt Bilabel et Jacoby (FGrHist 105 F 1) ‖ 1 *Ἤπειρον* scr. Bilabel | *ὑ]πωρείας* dub. leg. Hunt, sed cf. Bilabel ‖ 2 *στρατ[ηγή]σας* vel *στρατ[εύ]σας* ed. pr. ‖ 3 *κατέλυσαν* vel *κατέλυσεν* ed. pr., *-σεν* prob. Leahy, Bull. John Ryl. Libr. 1955–56, 417ss, sed *-σαν* potius quam *-σεν* praefert Turner ap. White 4

Chilonis heroum Lacedaemone positum

5 Paus. 3, 16, 4

ἰόντι δὲ ὡς ἐπὶ τὰς πύλας ἀπὸ τοῦ Χιτῶνος Χίλωνός ἐστιν ἡρῷον τοῦ σοφοῦ νομιζομένου καὶ Ἀθηνοδώρου τῶν ὁμοῦ Δωριεῖ τῷ Ἀναξανδρίδου σταλέντων ἐς Σικελίαν.

Chilon unus de septem sapientibus

6 Plat. Prot. p. 343ab = Pitt. Test. 16

7 Diog. Laert. 1, 13 = Periand. Test. 16a

Chilon et Solon

8 Plut. Sept. sap. conv. 7 p. 151e—152a

εἰπόντος οὖν τοῦ Χίλωνος ὡς Σόλων κατάρχεσθαι τοῦ λόγου δίκαιός ἐστιν, οὐ μόνον ὅτι πάντων προήκει καθ' ἡλικίαν καὶ τυγχάνει κατακείμενος πρῶτος, ἀλλ' ὅτι τὴν μεγίστην καὶ τελειοτάτην ἀρχὴν ἄρχει νόμους Ἀθηναίοις θέμενος, ὁ {οὖν} (secl. Hercher) *Νειλόξενος ἡσυχῇ πρὸς ἐμέ 'πολλά γ'' εἶπεν 'ὦ Διόκλεις πιστεύεται ψευδῶς, καὶ χαίρουσιν οἱ πολλοὶ λόγους ἀνεπιτηδείους περὶ σοφῶν ἀνδρῶν αὐτοί τε πλάττοντες καὶ δεχόμενοι παρ' ἑτέρων ἑτοίμως· οἷα καὶ πρὸς ἡμᾶς εἰς Αἴγυπτον ἀπηγγέλη περὶ Χίλωνος, ὡς ἄρα διαλύσαιτο τὴν πρὸς Σόλωνα φιλίαν καὶ ξενίαν, ὅτι τοὺς νόμους ὁ Σόλων ἔφη μετακινητοὺς εἶναι.*

Chilon et Bias

9 Plut. Sept. sap. conv. 6 p. 151de

ὡς δὲ ταῦτ' εἶπεν ὁ Βίας, . . . γελάσας ὁ Χίλων 'ὦ Ναυκρατῖτα' ἔφη 'ξένε (scil. *Νειλόξενε*), *πρὶν ἀπολέσθαι τὴν θάλασσαν ἐκποθεῖσαν ἀπάγγελλε πλεύσας Ἀμάσιδι μὴ ζητεῖν ὅπως ἅλμην ἀναλώσει τοσαύτην, ἀλλὰ μᾶλλον ὅπως πότιμον καὶ γλυκεῖαν τοῖς ὑπηκόοις τὴν βασιλείαν παρέξει· περὶ ταῦτα γὰρ δεινότατος Βίας καὶ διδάσκαλος τούτων ἄριστος, ἃ μαθὼν Ἄμασις οὐδὲν ἔτι τοῦ χρυσοῦ δεήσεται ποδανιπτῆρος ἐπὶ τοὺς Αἰγυπτίους, ἀλλὰ θεραπεύσουσι πάντες αὐτὸν καὶ ἀγαπήσουσι χρηστὸν ὄντα, κἂν μυριάκις ᾖ νῦν ἀναφανῇ δυσγενέστερος.'* cf. Herodt. 2, 172.

5 cf. Wace 219

Dicta memorabilia

10a Dem. Phal. ap. Stob. 3, 1 (*π. ἀρετῆς*), 172, III 116–118 H.

Χείλων Δαμαγήτου Λακεδαιμόνιος ἔφη· γνῶθι σαυτόν. πίνων μὴ πολλὰ λάλει· ἁμαρτήσῃ γάρ. μὴ ἀπείλει τοῖς ἐλευθέροις· οὐ γὰρ δίκαιον. μὴ κακολόγει τοὺς πλησίον· εἰ δὲ μή, ἀκούσῃ ἐφ' οἷς λυπηθήσῃ. ἐπὶ τὰ δεῖπνα τῶν φίλων βραδέως πορεύου, ἐπὶ δὲ τὰς ἀτυχίας ταχέως. γάμους εὐτελεῖς ποιοῦ. τὸν τετελευτηκότα μακάριζε. πρεσβύτερον σέβου. τὸν τὰ ἀλλότρια περιεργαζόμενον μίσει. ζημίαν αἱροῦ μᾶλλον ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ ἅπαξ λυπήσει, τὸ δὲ ἀεί. τῷ δυστυχοῦντι μὴ ἐπιγέλα. τραχὺς ὢν ἥσυχον σεαυτὸν πάρεχε, ὅπως σε αἰσχύνωνται μᾶλλον ἢ φοβῶνται. τῆς ἰδίας οἰκίας προστάτει. ἡ γλῶσσά σου μὴ προτρεχέτω τοῦ νοῦ. θυμοῦ κράτει. μὴ ἐπιθύμει ἀδύνατα. ἐν ὁδῷ μὴ σπεῦδε προάγειν μηδὲ τὴν χεῖρα κινεῖν· μανικὸν γάρ. νόμοις πείθου. ἀδικούμενος διαλλάσσου· ὑβριζόμενος τιμωροῦ. cf. 3, 21 (*π. τοῦ γνῶθι σαυτόν*), 12. 13, III 558–559 H.; 3, 21 (*π. τοῦ γνῶθι σαυτόν*), 26, III 579 H.; 4, 7 (*ὑποθῆκαι π. βασιλείας*), 24, IV 255 H.; 4, 22 (*π. γάμου*), 105, IV 541 H.; 4, 48 (*ὅτι οὐ χρὴ ἐπιχαίρ. κτλ.*), 11, V 1010 H.; 4, 57 (*ὅτι οὐ χρὴ παροινεῖν κτλ.*), 15, V 1140 H.; Plat. Prot. p. 343ab; Diod. 9, 9–10; Plin. Nat. hist. 7, 32; Plut. De aud. poet. 14 p. 35f–36a; Paus. 10, 24, 1; Clem. Alex. Strom. 1, 14, 60–61; P. S. I. 1093 col. I 1–23; II 34ss; Anth. P. 9, 366, 3; Schol. Pind. Pyth. 2, 63 (II 42, 21 Drachm.); Schol. Plat. Phileb. p. 48c (53 Greene); Alcib. p. 129a (103 Greene); Test. 2, 18ss.

10b Stob. 4, 1 (*π. πολιτείας*), 134, IV 82 H. = Plut. Sept. sap. conv. 11 p. 154f

ὁ δὲ Χίλων ἀπεφήνατο τὴν μάλιστα νόμων ἥκιστα δὲ ῥητόρων ἀκούουσαν πολιτείαν ἀρίστην εἶναι.

10c Stob. 4, 28 (*οἰκονομικός*), 14, V 680 H. = Plut. Sept. sap. conv. 12 p. 155d

ὁ δὲ Χείλων ἔφη δεῖν μάλιστα βασιλευομένῃ πόλει προσεοικέναι τὸν οἶκον.

10d Stob. 4, 44 (*ὅτι δεῖ γενν. φέρειν κτλ.*), 72, V 976 H.

Χείλωνος. Χείλων, λυπουμένου τινὸς ἐπὶ τοῖς αὑτοῦ κακοῖς, εἶπεν· 'εἰ τὰ πάντων κατανοήσεις, ἧττον ἐπὶ τοῖς σεαυτοῦ δυσφορήσεις'.

11 Diog. Laert. 1, 41

διαφωνοῦνται δὲ καὶ αἱ ἀποφάσεις αὐτῶν (scil. *τῶν ἑπτὰ σοφῶν*) *καὶ ἄλλου ἄλλο φασὶν εἶναι, ὡς ἐκεῖνο* (cf. Crit. fr. 5 cum adn.)·

ἦν Λακεδαιμόνιος Χίλων σοφός, ὃς τάδ' ἔλεξε·
μηδὲν ἄγαν· καιρῷ πάντα πρόσεστι καλά.

cf. Plut. Sept. sap. conv. 20 p. 163d; Schol. Eur. Hipp. 264; 266 (II 38, 16. 39, 11 Schwartz)

12a Plut. De inim. util. 1 p. 86c

ἐπεὶ δὲ χώραν μὲν ἄθηρον ὥσπερ ἱστοροῦσι τὴν Κρήτην εὑρεῖν ἔστι, πολιτεία δὲ μήτε φθόνον ἐνηνοχυῖα μήτε ζῆλον ἢ φιλονικίαν, ἔχθρας γονιμώτατα πάθη, μέχρι νῦν οὐ γέγονεν (ἀλλ' εἰ μηδὲν ἄλλο, ταῖς ἔχθραις αἱ φιλίαι συμπλέκουσιν ἡμᾶς· ὃ καὶ Χίλων ὁ σοφὸς νοήσας τὸν εἰπόντα μηδένα ἔχειν ἐχθρὸν ἠρώτησεν εἰ μηδὲ φίλον ἔχοι), δοκεῖ μοι τά τ' ἄλλα περὶ ἐχθρῶν τῷ πολιτικῷ διεσκέφθαι προσήκειν καὶ τοῦ Ξενοφῶντος ἀκηκοέναι μὴ παρέργως εἰπόντος ὅτι τοῦ νοῦν ἔχοντός ἐστι καὶ 'ἀπὸ τῶν ἐχθρῶν ὠφελεῖσθαι'. cf. De amic. multitudine 5 p. 96a.

12b Plut. Sept. sap. conv. 2 p. 148a

. . . Χίλων, καλούμενος ἐχθές, οὐ πρότερον ὡμολόγησεν ἢ πυθέσθαι τῶν κεκλημένων ἕκαστον. ἔφη γὰρ ὅτι σύμπλουν ἀγνώμονα δεῖ φέρειν καὶ σύσκηνον οἷς πλεῖν ἀνάγκη καὶ στρατεύεσθαι, †πρὸς δὲ τὸ συμπόταις ἑαυτὸν οἷς ἔτυχε καταμιγνύειν, οὐ νοῦν ἔχοντος ἀνδρός ἐστιν. cf. Quaest. conv. 7 p. 708d.

12c Plut. Sept. sap. conv. 7 p. 152b

μετὰ τοῦτον ὁ Χίλων ἔφη τὸν ἄρχοντα χρῆναι μηδὲν φρονεῖν θνητόν, ἀλλὰ πάντ' ἀθάνατα.

AESCHYLVS

TESTIMONIA

1 Vita Aeschyli 8 (119, 43 Westerm.)

ἀπῆρε δὲ πρὸς Ἱέρωνα τὸν Σικελίας τύραννον, κατά τινας μὲν ὑπ' Ἀθηναίων κατασπουδασθεὶς καὶ ἡσσηθεὶς νέῳ ὄντι τῷ Σοφοκλεῖ, κατὰ δ' ἐνίους ἐν τῷ εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας ἐλεγείῳ ἡσσηθεὶς Σιμωνίδῃ· τὸ γὰρ ἐλεγεῖον πολὺ τῆς περὶ τὸ συμπαθὲς λεπτότητος μετέχειν θέλει, ὃ τοῦ Αἰσχύλου, ὡς ἔφαμεν, ἐστὶν ἀλλότριον. cf. fr. 2. quod attinet ad vocabulum *ἐλεγεῖον* plerique iure de epigrammate, non de elegia, agi putant.

2 Ibid. (120, 60 Westerm.)

ἀποθανόντα δὲ (scil. *Αἰσχύλον*) *Γελῷοι πολυτελῶς ἐν τοῖς δημοσίοις μνήμασι θάψαντες ἐτίμησαν μεγαλοπρεπῶς ἐπιγράψαντες οὕτω· Αἰσχύλον . . . ἐπιστάμενος* (fr. 3, 1–4 D., Epigr. 454–457 P.).

3 Plut. De exil. 13 p. 604e

ἀκήκοας δὲ δήπου (*δι' ἐπῶν* codd.: corr. Wytt.) *καὶ τουτὶ τὸ ἐπιγραμμάτιον* (fr. 3, 1–2 D., Epigr. 454–455 P.).

4 Plut. Alex. fort. 2 p. 334d

ἀλλ' Ἀλέξανδρος εἰδὼς τίνων δεῖ θεατὴν εἶναι καὶ ἀκροατὴν καὶ τίνων ἀγωνιστὴν καὶ αὐτουργόν, ἤσκει μὲν ἀεὶ διὰ τῶν ὅπλων δεινὸς εἶναι καὶ κατὰ τὸν Αἰσχύλον (fr. 4 D. = fr. 700a Mette).

5 Athen. 14 p. 627cd

ὁμοίως δὲ καὶ Αἰσχύλος τηλικαύτην δόξαν ἔχων διὰ τὴν ποιητικὴν οὐδὲν ἧττον ἐπὶ τοῦ τάφου ἐπιγραφῆναι ἠξίωσεν μᾶλλον τὴν ἀνδρείαν ποιήσας [fr. 3, 3–4 D., Epigr. 456–457 P.]. cf. etiam Anonym. in Aristot. Eth. Nic. 3 p. 1111a 7 (XX 145, 26ss Heylbut = Heraclid. Pont. fr. 170 Wehrli) et Paus. 1, 14, 5.

ΑΙΣΧΥΛΟΣ

Atheniensis 525–456

ΕΛΕΓΕΙΑΙ

1 (1 D.)

Τυρσηνὸν γενεάν, φαρμακοποιὸν ἔθνος

2 (1 Bgk.)

Plut. Quaest. conviv. 1 p. 628de *Γλαυκίας δὲ ὁ ῥήτωρ καὶ τὸ δεξιὸν κέρας Αἰαντίδαις τῆς ἐν Μαραθῶνι παρατάξεως ἀποδοθῆναι, ταῖς Αἰσχύλου †τὴν μεθορίαν†* (*εἰς τὴν μ.* Steph., *εἰς τὴν Μαραθωνίαν* scil. *μάχην* Bgk., cum hiatu: cf. Wil. Textg. 60, adn. 1, alii aliter) *ἐλεγείαις πιστούμενος, ἠγωνισμένου τὴν μάχην ἐκείνην ἐπιφανῶς.*

1 Theophr. Hist. plant. 9, 15, 1 *καὶ γὰρ Αἰσχύλος ἐν ταῖς ἐλεγείαις ὡς πολυφάρμακον λέγει τὴν Τυρρηνίαν* [1]. cf. Plin. Nat. hist. 25, 11 *unde arbitror natum, ut Aeschylus e vetustissimis in poetica refertam Italiam herbarum potentia proderet . . .*

1 *Τυρσηνὸν* Herm., cf. Crit. 1, 7 *Τυρρ-* codd., acceperunt Wimmer, Schndw. alii *Τυρσηνῶν* Bgk., prob. D. (sed *-ρρ-*) | *φαρμακ.* novum

MELANIPPIDES MAIOR

Melius saec. VI – V

TESTIMONIA

1 (= 1 Del Grande, Ditiramb.) Marm. Par. FGrHist 239 A 47

ἀφ' οὗ Με[λαν]ιππίδ[ης] Μ̣[ήλιος ἐνίκησ]εν Ἀθήνησιν, ἔτη ΗΗ-ΔΔΔΙ, ἄρχοντος Ἀθήνησι Πυθοκρίτου (494 – 493 a. C.).

2 (= 2 Del Grande, Ditiramb.) Suda s. v. *Μελανιππίδης* (III 350, 19 Adler)

Κρίτωνος, γεγονὼς κατὰ τὴν ξε' Ὀλυμπιάδα (520 – 517 a. C.), *Μήλιος. ἔγραψε δὲ διθυράμβων βιβλία πλεῖστα καὶ ποιήματα ἐπικὰ καὶ ἐπιγράμματα καὶ ἐλέγους καὶ ἄλλα πλεῖστα.*

SOPHOCLES

TESTIMONIA

1 Plut. An seni gerenda resp. 3 p. 785b

τουτὶ δὲ ὁμολογουμένως Σοφοκλέους ἐστὶ τὸ ἐπιγραμμάτιον [fr. 5, 1–2 West et Bgk., cuius iudicio 'elegia fuisse videtur, *ᾠδήν* poeta dicit ..., sed breviuscula, hinc Plutarchus *ἐπιγραμμάτιον* appellat']. cf. Epigr. 466–467 P.

2 Athen. 13 p. 604d–f

καὶ Ἱερώνυμος δ' ὁ Ῥόδιος ἐν τοῖς Ἱστορικοῖς Ὑπομνήμασίν φησιν (fr. 35 Wehrli) *ὅτι Σοφοκλῆς εὐπρεπῆ παῖδα ἔξω τείχους ἀπήγαγε χρησόμενος αὐτῷ. ὁ μὲν οὖν παῖς τὸ ἴδιον ἱμάτιον ἐπὶ τῇ πόᾳ ὑπέστρωσεν, τὴν δὲ τοῦ Σοφοκλέους χλανίδα περιεβάλοντο. μετ' οὖν τὴν ὁμιλίαν ὁ παῖς ἁρπάσας τὸ τοῦ Σοφοκλέους χλανίδιον ᾤχετο, καταλιπὼν τῷ Σοφοκλεῖ τὸ παιδικὸν ἱμάτιον. οἷα δὲ εἰκὸς διαλαληθέντος τοῦ συμβεβηκότος Εὐριπίδης πυθόμενος καὶ ἐπιτωθάζων τὸ γεγονὸς καὶ αὐτός ποτε ἔφη τούτῳ κεχρῆσθαι τῷ παιδί, ἀλλὰ μηδὲν προσθεῖναι* (*προεθῆναι* West), *τὸν δὲ Σοφοκλέα διὰ τὴν ἀκολασίαν καταφρονηθῆναι. καὶ ὁ Σοφοκλῆς ἀκούσας ἐποίησεν εἰς αὐτὸν τὸ τοιοῦτον ἐπίγραμμα, χρησάμενος τῷ περὶ τοῦ Ἡλίου καὶ Βορέου λόγῳ, καί τι πρὸς μοιχείαν αὐτοῦ παραινιττόμενος· Ἥλιος ... ἀπάγεις* (fr. 3, 1–4 D., Epigr. 462–465 P.).

3 Lucian. Encom. Dem. 27

οὐδὲ γὰρ τἀσκληπιῷ μεῖόν τι γίνεται τῆς τιμῆς, εἰ μὴ τῶν προσιόντων αὐτῶν ποιησάντων ᾄσματα τὰ Ἀλισοδήμου τοῦ Τροιζηνίου καὶ Σοφοκλέους ᾄδεται, καὶ τῷ Διονύσῳ τὸ μὲν ποίησιν καινὴν ποιεῖν κωμῳδίας ἢ τραγῳδίας ἐκλέλειπται.

4 Philostr. Vit. Apoll. Tyan. 3, 17 (I 96 Kayser)

ὁ παιᾶν ὁ τοῦ Σοφοκλέους (cf. fr. 4 D. = 737 P.) *ὃν Ἀθήνησι τῷ Ἀσκληπιῷ ᾄδουσιν.*

5 Suda s. v. *Σοφοκλῆς Σωφίλου* (IV 402, 2 Adler)

καὶ ἔγραψεν ἐλεγείαν τε καὶ Παιᾶνας καὶ λόγον καταλογάδην περὶ τοῦ χοροῦ πρὸς Θέσπιν καὶ Χοίριλον ἀγωνιζόμενος.

ΣΟΦΟΚΛΗΣ

Atheniensis 497–406

ΕΛΕΓΕΙΑ

1 (1 D.)

Ἀρχέλεως· ἦν γὰρ σύμμετρον ὧδε λέγειν.

2 (2 Bgk.)

HARPOCR. Lex. s. v. *ἀρχὴ ἄνδρα δείκνυσι* (60, 16 Dind.)· *Δημοσθένης προοιμίοις δημηγορικοῖς* (48, 2). *Σοφοκλῆς μὲν οὖν ἐν ταῖς ἐλεγείαις Σόλωνός φησιν αὐτὸ εἶναι ἀπόφθεγμα, Θεόφραστος δὲ ἐν τῷ περὶ παροιμιῶν καὶ Ἀριστοτέλης* (Eth. Nic. 5 p. 1130a 1) *Βίαντος*. ad proverbium cf. Paroem. Gr. I 212, 7 cum adn.

3 (3 Bgk.)

EROTIAN. Vocum Hippocr. collectio 135 (93, 8 Nachmanson) *χάριτες· αἱ χαραί, ὡς καὶ Σοφοκλῆς ἐν ἐλεγείᾳ μέμνηται.*

1 HEPHAEST. Ench. 1, 5 (*π. κοινῆς*) *τὸ τοῦ Ἀρχελάου ὄνομα Σοφοκλῆς ἐν ταῖς ἐλεγείαις οὐκ ᾤετο ἐγχωρεῖν οὔτε εἰς ἔπος οὔτε εἰς ἐλεγεῖον· φησὶ γοῦν·* [1] ‖ cf. Eust. in Il. p. 264, 20 *Πηνέλεως Ἀττικῶς, οὗ τὸ κοινὸν ἄχρηστον ἡρωικῷ μέτρῳ, ἤγουν τὸ Πηνέλαος· τοιοῦτον δὲ καὶ τὸ Ἀρχέλεως ἐν Τραχινίαις* (sed fortasse in *ἐλεγείαις* corrigendum: nam *Ἀρχέλεως* deest in Sophoclis tragoediis)

1 cf. Crit. 2 cum adn.

ARCHELAVS

Atheniensis vel Milesius saec. V med.

TESTIMONIA[1])

1 (Vors. II 48, 4) Plut. Cim. 4, 1ss

Κίμων ὁ Μιλτιάδου μητρὸς ἦν Ἡγησιπύλης, γένος Θρᾴττης, θυγατρὸς Ὀλόρου τοῦ βασιλέως, ὡς ἐν τοῖς Ἀρχελάου καὶ Μελανθίου (fr. 1) *ποιήμασιν εἰς αὐτὸν Κίμωνα γεγραμμένοις ἱστόρηται ...* (10) *δῆλος δ' ἐστὶ καὶ πρὸς Ἰσοδίκην τὴν Εὐρυπτολέμου μὲν θυγατέρα τοῦ Μεγακλέους, κατὰ νόμους δ' αὐτῷ συμβιώσασαν ὁ Κίμων ἐμπαθέστερον διατεθείς, καὶ δυσφορήσας ἀποθανούσης, εἴ τι δεῖ τεκμαίρεσθαι ταῖς γεγραμμέναις ἐπὶ παρηγορίᾳ τοῦ πένθους ἐλεγείαις πρὸς αὐτόν, ὧν Παναίτιος ὁ φιλόσοφος* (fr. 125 van Straaten) *οἴεται ποιητὴν γεγονέναι τὸν φυσικὸν Ἀρχέλαον, οὐκ ἀπὸ τρόπου τοῖς χρόνοις εἰκάζων.*

2 Strab. 14, 1, 36 p. 645

Κλαζομένιος δ' ἦν ἀνὴρ ἐπιφανὴς Ἀναξαγόρας ὁ φυσικός, Ἀναξιμένους ὁμιλητὴς τοῦ Μιλησίου· διήκουσαν δὲ τούτου Ἀρχέλαος ὁ φυσικὸς καὶ Εὐριπίδης ὁ ποιητής.

3 (Vors. II 44, 27) Diog. Laert. 2, 16

Ἀρχέλαος Ἀθηναῖος ἢ Μιλήσιος, πατρὸς Ἀπολλοδώρου, ὡς δέ τινες, Μίδωνος, μαθητὴς Ἀναξαγόρου, διδάσκαλος Σωκράτους. οὗτος πρῶτος ἐκ τῆς Ἰωνίας τὴν φυσικὴν φιλοσοφίαν μετήγαγεν Ἀθήναζε, καὶ ἐκλήθη φυσικός, παρὸ καὶ ἔληξεν ἐν αὐτῷ ἡ φυσικὴ φιλοσοφία, Σωκράτους τὴν ἠθικὴν εἰσαγαγόντος. ἔοικεν δὲ καὶ οὗτος ἅψασθαι τῆς ἠθικῆς. καὶ γὰρ περὶ νόμων πεφιλοσόφηκε καὶ καλῶν καὶ δικαίων.

4 (Vors. II 45, 18) Suda s. v. *Ἀρχέλαος* (I 372, 14 Adler)

Ἀπολλοδώρου ἢ Μίδωνος, Μιλήσιος, φιλόσοφος, φυσικὸς τὴν αἵρεσιν κληθείς. ὅτι ἀπὸ Ἰωνίας πρῶτος τὴν φυσιολογίαν ἤγαγεν· Ἀναξαγόρου μαθητὴς τοῦ Κλαζομενίου, τοῦ δὲ μαθητὴς Σωκράτης· οἱ δὲ καὶ Εὐριπίδην φασίν. συνέταξε δὲ φυσιολογίαν καὶ ἐδόξαζε τὸ δίκαιον καὶ αἰσχρὸν οὐ φύσει εἶναι, ἀλλὰ νόμῳ· συνέταξε καὶ ἄλλα τινά.

---

1) Alia testimonia ad Archelai vitam et doctrinam pertinentia apud Dielsium (Vors. II 45ss et Dox. 665) invenies.

ION CHIVS

TESTIMONIA VITAE ATQVE ARTIS

Vita atque opera

1 (5 Blum.) Suda s. v. *Ἴων Χῖος* (II 653, 7 Adler)

Ἴων, Χῖος, τραγικὸς καὶ λυρικὸς καὶ φιλόσοφος, υἱὸς Ὀρθομένους, ἐπίκλησιν δὲ Ξούθου. ἤρξατο δὲ τὰς τραγῳδίας διδάσκειν ἐπὶ τῆς πβ' ὀλυμπιάδος (452–449 a. C.). *δράματα δὲ αὐτοῦ ιβ', οἱ δὲ λ', ἄλλοι δὲ μ' φασιν. οὗτος ἔγραψε περὶ μετεώρων, καὶ συνθέτους λόγους. ὃν παίζων Ἀριστοφάνης ὁ κωμικὸς Ἀοῖόν φησι* (Test. 2a). *οὗτος τραγῳδίαν κτλ.* cf. Test. 6 et Suda s. v. *Ἀθήναιος* (I 69, 17 Adler).

2a (2 Blum.) Aristoph. Pax 832ss

Οι. οὐκ ἦν ἄρ' οὐδ' ἃ λέγουσι, κατὰ τὸν ἀέρα
ὡς ἀστέρες γιγνόμεθ', ὅταν τις ἀποθάνῃ;
Τρ. μάλιστα. Οι. καὶ τίς ἐστιν ἀστὴρ νῦν ἐκεῖ;
Τρ. Ἴων ὁ Χῖος, ὅσπερ ἐποίησεν πάλαι
ἐνθάδε τὸν ἀοῖόν ποθ'· ὡς δ' ἦλθ', εὐθέως
ἀοῖον αὐτὸν πάντες ἐκάλουν ἀστέρα.

2b (3 Blum.) Schol. Aristoph. Pac. 835 Dübner

Ἴων ὁ Χῖος: διθυράμβων καὶ τραγῳδίας καὶ μελῶν ποιητής. ἐποίησε δὲ ᾠδήν, ἧς ἡ ἀρχή 'ἀοῖον ἀεροφοίταν ἀστέρα μείναμεν, ἀελίου λευκῇ πτέρυγι πρόδρομον' (fr. 745 P.). *φαίνεται δὲ τετελευτηκὼς ἐκ τούτων. παίζων οὖν ὁ Ἀριστοφάνης ἀοῖον αὐτόν φησιν ἀστέρα κληθῆναι* (cf. Test. 2a). *περιβόητος δὲ ἐγένετο. ἔγραψε δὲ καὶ κωμῳδίας καὶ ἐπιγράμματα καὶ παιᾶνας καὶ ὕμνους καὶ σκόλια καὶ ἐγκώμια καὶ ἐλεγεῖα, καὶ καταλογάδην τὸν πρεσβευτικὸν λεγόμενον, ὃν νόθον ἀξιοῦσιν εἶναί τινες καὶ οὐχὶ αὐτοῦ. φέρεται δὲ αὐτοῦ καὶ κτίσις καὶ κοσμολογικὸς καὶ ὑπομνήματα καὶ ἄλλα τινά. καὶ πάνυ δόκιμος ἦν. φασὶ δὲ αὐτὸν ὁμοῦ διθύραμβον καὶ τραγῳδίαν ἀγωνισάμενον ἐν τῇ Ἀττικῇ νικῆσαι, καὶ εὐνοίας χάριν προῖκα Χῖον οἶνον πέμψαι Ἀθηναίοις* (cf. Test. 6). *Σωκράτους δὲ τοῦ φιλοσόφου ἔστιν εἰς αὐτὸν λόγος λεγόμενος Ἴων. μέμνηται αὐτοῦ καὶ Καλλίμαχος ἐν τοῖς Χωλιάμβοις* (Test. 13), *ὅτι πολλὰ ἔγραψεν.* cf. Suda s. v. *διθυραμβοδιδάσκαλοι* (II 91, 21 Adler).

2b 1 Ionis carmina lyrica (*μέλη*) laudant etiam Test. 3, 3 et comment. in Aristophanis *Ἀνάγυρον* (?), P. Oxy. 2737, fr. 1, col. 1, 23s = Comic. graec. fragm. in pap. reperta, fr. 56, 23s Austin || 12 confunditur noster cum rhapsodo Ione a Platone laudato in dialogo qui eodem nomine appellatur || 13 post *πολλὰ* add. *ποικίλα* Castiglioni ap. Vogliano, P. Mediol. I 143 ad Callim. fr. 203 Pf.

3 (1 Blum.) Harpocr. Lex. s. v. *Ἴων* (164, 5 Dind.)

Ἰσοκράτης ἐν τῷ περὶ τῆς ἀντιδόσεως (15, 268). *Ἴωνος τοῦ τῆς τραγῳδίας ποιητοῦ μνημονεύοι ἂν νῦν ὁ ῥήτωρ, ὃς ἦν Χῖος μὲν γένος, υἱὸς δὲ Ὀρθομένους, ἐπίκλησιν δὲ Ξούθου. ἔγραψε δὲ μέλη πολλὰ καὶ τραγῳδίας καὶ φιλόσοφόν τι σύγγραμμα τὸν Τριαγμὸν ἐπιγραφόμενον, ὅπερ Καλλίμαχος* (fr. 449 Pf.) *ἀντιλέγεσθαί φησιν †ὡς Ἐπιγένους· † ἐν ἐνίοις δὲ καὶ πληθυντικῶς ἐπιγράφεται Τριαγμοί, καθὰ Δημήτριος ὁ Σκήψιος* (fr. 69 Gaede) *καὶ Ἀπολλωνίδης ὁ Νικαεύς. ἀναγράφουσι δὲ ἐν αὐτῷ τάδε·* (fr. 36 B 1 D.-K.).

4 (9 Blum.) Thuc. 8, 38, 3

οἱ δὲ Χῖοι ἐν πολλαῖς ταῖς πρὶν μάχαις πεπληγμένοι, καὶ ἄλλως ἐν σφίσιν αὐτοῖς οὐ πάνυ εὖ διακείμενοι, ἀλλὰ καὶ τῶν μετὰ Τυδέως τοῦ Ἴωνος ἤδη ὑπὸ Πεδαρίτου ἐπ' ἀττικισμῷ τεθνεώτων (412–411) *κτλ.*

5 (8 Blum.) Aelian. V. H. 2, 41

καὶ Ἴωνα δὲ τὸν Χῖον τὸν ποιητὴν καὶ αὐτόν φασι περὶ τὸν οἶνον ἀκρατῶς ἔχειν. cf. fr. 6.

Ion in certaminibus tragicis

Ion victoriam Athenis consequitur in certamine tragico

6 (6 Blum.) Athen. 1 p. 3f

ὁ δὲ Χῖος Ἴων τραγῳδίαν νικήσας Ἀθήνησιν ἑκάστῳ τῶν Ἀθηναίων ἔδωκε Χίου κεράμιον.

Ion tertium locum consequitur in certamine tragico

7 (7 Blum.) Arg. Eur. Hipp. (II 2, 8 Schw.)

ἐδιδάχθη ἐπὶ Ἐπαμείνονος ἄρχοντος ὀλυμπιάδι πζ' ἔτει δ' (428 a. C.). *πρῶτος Εὐριπίδης, δεύτερος Ἰοφῶν, τρίτος Ἴων.*

Veterum iudicia

8 (10 Blum.) Strab. 14, 1, 35 p. 645c

ἄνδρες δὲ Χῖοι γεγόνασιν ἐλλόγιμοι Ἴων τε ὁ τραγικὸς καὶ Θεόπομπος ὁ συγγραφεὺς καὶ Θεόκριτος ὁ σοφιστής.

3 5 *ὡς Ἐπιγένους*] *ὑπὸ Ἐπιγένους* Bgk., *ὡς* ⟨*καὶ*⟩ *Ἐπιγένης* Bentley 508ss, D.-K. 36 A 1 adn.

9 (15 Blum.) Diog. Laert. 4, 31

τόν τε Πίνδαρον ἔφασκε (scil. *ὁ Ἀρκεσίλαος*) *δεινὸν εἶναι φωνῆς ἐμπλῆσαι καὶ ὀνομάτων καὶ ῥημάτων εὐπορίαν παρασχεῖν. Ἴωνα δὲ καὶ ἐχαρακτήριζε νέος ὤν.*

10 (11 Blum.) Ps.-Long. *π. ὕψ.* 33, 5

τί δέ; ἐν μέλεσι μᾶλλον ἂν εἶναι Βακχυλίδης ἕλοιο ἢ Πίνδαρος, καὶ ἐν τραγῳδίᾳ Ἴων ὁ Χῖος ἢ νὴ Δία Σοφοκλῆς; ἐπειδὴ οἱ μὲν ἀδιάπτωτοι καὶ ἐν τῷ γλαφυρῷ πάντη κεκαλλιγραφημένοι, ὁ δὲ Πίνδαρος καὶ ὁ Σοφοκλῆς ὁτὲ μὲν οἷον πάντα ἐπιφλέγουσι τῇ φορᾷ, σβέννυνται δ' ἀλόγως πολλάκις καὶ πίπτουσιν ἀτυχέστατα. ἢ οὐδεὶς ἂν εὖ φρονῶν ἑνὸς δράματος, τοῦ Οἰδίποδος, εἰς ταὐτὸ συνθεὶς τὰ Ἴωνος ⟨πάντ'⟩ (add. Toup) *ἀντιτιμήσαιτο ἑξῆς;*

11 (13 Blum.) Canon. Byz. tabulae M et C ap. O. Kroehnert, Canonesne poetarum, scriptorum, artificum per antiquitatem fuerunt?, Diss. Königsberg 1897, 6. 12 (tab. C cod. N add. H. Rabe, Rh. Mus. 65, 1910, 341)

τραγῳδοποιοὶ ε'· Αἰσχύλος, Σοφοκλῆς, Εὐριπίδης, Ἴων, Ἀχαιός.

12 (14 Blum.) Tzetz. in Lycophr. Alex. (II 3, 6 Scheer)

τραγῳδοὶ δὲ ποιηταὶ Αἰσχύλος Σοφοκλῆς Εὐριπίδης Ἀρίων Θέσπις Φρύνιχος Ἴων Ἀχαιὸς καὶ ἕτεροι νέοι μυρίοι.

Fortuna

13 Callim. fr. 203 Pf.

Μοῦσαι καλαὶ κἄπολλον, οἷς ἐγὼ σπένδω

Dieg. IX 32ss ad l. *ἐν τούτῳ πρὸς τοὺς καταμεμφομένους αὐτὸν ἐπὶ τῇ πολυειδείᾳ ὧν γράφει ποιημάτων ἀπαντῶν φησιν ὅτι Ἴωνα μιμεῖται τὸν τραγικόν· ἀλλ' οὐδὲ τὸν τέκτονά τις μέμφεται πολυειδῆ σκεύη τεκταινόμενον.* cf. Test. 2b, 13s.

14 Baton Sinop. FGrHist 268 F 6 ap. Athen. 10 p. 436f: vid. fr. 6

9 2s cf. F. G. Welcker, Die Griech. Trag. III, Bonn 1841, 945

Titulus ab Ione Athenis positus

°15 (12 Blum.) IG I² 604

[Ἴ]ōν ἀνέθēκεν Ἀγ[τι]λ[όχō c. 15 litt. τ]ε̄ι Ἀθε̄ναίε̄ι

Ad alia testimonia de vita quae in Ἐπιδημίαις vel aliis Ionis scriptis reperiuntur vid. Jacoby, FGrHist 392 F 4–23.

ΙΩΝ

Chius saec. V

1 (1 D.)

⟨—⏔⟩ θυρσοφόρος μέγα πρεσβεύων Διόνυσος.
αὕτη γὰρ πρόφασις παντοδαπῶν λογίων,
αἵ τε Πανελλήνων ἀγοραὶ θαλίαι τε ἀνάκτων,
ἐξ οὗ βοτρυόεσσ' οἰνὰς ὑποχθόνιον
πτόρθον ἀνασχομένη θαλερῷ ἐπτύξατο πήχει
αἰθέρος· ὀφθαλμῶν δ' ἐξέθορον πυκινοί

1 Athen. 10 p. 447d; cf. III praef. X Kaib. τῷ ἡμετέρῳ χορῷ (χρόνῳ A: corr. Dind.) οἶνος φίλος (scil. ἐστί), ὧν (Mus.: ον A ὃν ⟨πόρε⟩ Hiller) [A 1], φησὶν Ἴων ὁ Χῖος ἐν τοῖς ἐλεγείοις [A 2–16; C 2–12. 16; E 2–10. 16]

1 1 ἡμετέρῳ δὲ χορῷ alterum hemistichium superioris pentametri dub. coni. D., principium hexametri Nieberding. verba τῷ δ' ἡμ. χορῷ usque ad ὧν Athenaei esse arbitramur et ad viros doctos referri inter cenam disserentes, tamquam sectatores Dionysi, cf. Nieberding 'nostro choro' et Wil., Kl. Schr. IV 435 | θυρσοφόροις Bgk. (θυρσοφόροισι φίλος μ. πρ. Δ. iam Casaub.) | μέτα A: corr. Mus. | μέγα πρεσβεύων 'qui in summo honore est', ut ap. Soph. Ant. 720 (πρεσβεύειν πολύ), πρέσβευσεν (transit. cum ὃν Athenaei coniunct.) Wil., qui contulit Hesych. πρεσβεύειν. προτιμᾶν, ἄρχειν, μεγαλύνειν | ad θυρσ. Διόν. Anth. P. 9, 524, 9 || 2 οἶνος pro αὕτη γὰρ CE ἀρχὴ pro αὕτη Jacobs | λόγων CE | αὕτη . . . λογίων: vinum iuxta morem convivii narrandi vel canendi occasionem praebet viris res gestas dicendi peritis, qui undique conveniunt, cf. Alex. frr. 283, 284 Kock οἶνος φιλολόγους πάντας ποιεῖ et praesertim fr. adesp. 12. λογίων: sunt λόγιοι, haud λόγια, ut omnes interpretantur (λόγια 'oraculi responsa' a conviviis sunt aliena): cf. Pind. Pyth. 1, 94 ὀπιθόμβροτον αὔχημα δόξας οἶον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει καὶ λογίοις καὶ ἀοιδοῖς, Nem. 6, 45; Herodt. 1, 1; 2, 3 || 3s intellige: et sunt Graecorum conventus et regum convivia ex quo tempore (ἐξ οὗ) etc. || 3 ἤ τε Edmonds | Πανελλ. cf. παντοδαπῶν v. 2 || 4 ὑποχθονίων AC || 5 ἐπτήξατο A ἐπήξατο CE: corr. Casaub., alii alia coniecerunt | πῆχυς est 'vitis ulna', translate pro 'palmite' || 6s filii qui exsiliunt ex oculis (i. e. e vitium gemmis, cf. Alcm. fr. 160 Calame = 93 P.) sunt uvae, voce praeditae quod 'in torcular coniectae strepitum edunt', ut explicavit Jacobs, qui contulit Calpurn. Sic. Ecl. 1, 2 *quamvis et madidis incumbant prela racemis et spument rauco ferventia musta susurro* || 6 αἰθέρος] ad gen. loci *P* 372s, *I* 218s cont. Wil.

παῖδες φωνήεντες, ὅταν πέσῃ ἄλλος ἐπ' ἄλλῳ·
πρὶν δὲ σιωπῶσιν· παυσάμενοι δὲ βοῆς
νέκταρ ἀμέλγονται, μόνον ὄλβιον ἀνθρώποισιν
ξυνὸν τοῦ χαίρειν φάρμακον αὐτοφυές·
τοῦ θαλίαι φίλα τέκνα φιλοφροσύναι τε χοροί τε·
τῶν ἀγαθῶν βασιλεὺς οἶνος ἔδειξε φύσιν.
τοῦ σύ, πάτερ Διόνυσε, φιλοστεφάνοισιν ἀρέσκων
ἀνδράσιν, εὐθύμων συμποσίων πρύτανι,
Χαῖρε· δίδου δ' αἰῶνα, καλῶν ἐπιήρανε ἔργων,
πίνειν καὶ παίζειν καὶ τε δίκαια φρονεῖν.

2 (2 D.)

Χαιρέτω ἡμέτερος βασιλεὺς σωτήρ τε πατήρ τε·
ἡμῖν δὲ κρητῆρ' οἰνοχόοι θέραπες

2 (I) Athen. 11 p. 463ab *καὶ Ἴων δὲ ὁ Χῖός φησιν·* [A 1–10] || (II) Athen. 11 p. 496c *προχύτης εἶδος ἐκπώματος . . . Ἴων δ' ὁ Χῖος ἐν ἐλεγείοις·* [ACE 2–3 usque ad *ἀργυρέοις*]

1 11 *ϑ* 248 *δαίς τε φίλη κίθαρίς τε χοροί τε*

7 ad *φωνή.* cf. Philox. Cyther. fr. 831 P. *οἶνος πάμφωνος* | *ὅτ. π. ἄλλ. ἐπ' ἄ.* ad cottabi ludum iniuria rettulit Schmid, Gesch. d. griech. Lit. I 2, 519 adn. 9, accipiens *ὀφθαλμούς* 'uvas' et *παῖδας* 'guttas' || 9 cf. Callim. fr. 399, 2 Pf. *νέκταρ οἰνάνθης*, Anth. P. 9, 645, 7s *οἰνὰς ὀπώρη οὔθατος ἐκ βοτρύων ξανθὸν ἄμελξε γάνος*, Nonn. 12, 320s *ἀμέλγετο νέκταρ ὀπώρης . . . ποτὸν βακχεῖον ἀμέλξας* | *γόνον* Wil., D. *ποτὸν* Jacobs, Edm. *πόνον* Mein., West, sed locus nullam emendationem expetit, nam *μόνον* (quod recte servaverunt etiam Nieberding, Bgk., Hi.-Cr.) cum *φάρμακον* coniungendum (Casaub.); nota adiectivorum cumulum quo omnes eximiae vini virtutes conlaudantur || 11 cf. Crit. 4, 14ss | cf. Anacreont. 38, 2s West *ἀναμέλψομεν δὲ Βάκχον, τὸν ἐφευρετὰν χορείας* | post *χοροί τε* lac. stat. Mein. || 12 *τῶν ⟨δ'⟩* Hart., Bgk.[4], D. | *ἀγαθῶν* mascul. haud neutr. ut censent Sitz. et Blum., cf. fr. adesp. 12, 9s *ταῦτα γάρ ἐστιν ἔργ'* (scil. convivii) *ἀνδρῶν ἀγαθῶν* | post *τῶν ἀγαθῶν* lac. stat. West | *οἰν. ἔδ. φύσ.*: cf. Theogn. 500 *ἀνδρὸς δ' οἶνος ἔδειξε νόον*, Alc. fr. 333 Voigt *οἶνος γὰρ ἀνθρώπω δίοπτρον* (Gerber, Euterpe 196) || 13 *τοῦ*] *τῷ* Bgk. alii, sine ulla necessitate; intellige: 'eius (i. e. *νέκταρος*) tu pater Dionyse' (Edmonds), cf. v. 11 *τοῦ . . . τέκνα*: *τοῦ* cum *ἀρέσκων* perperam coniungit Blum. coll. Hes. Scut. 255s ubi forma medial. legitur || 14 ad *πρύτ.* Ion. fr. 744, 4s P. (= 33 Blum.) *οἶνον ἀερσίνοον ἀνθρώπων πρύτανιν* || 15 Emped. 31 B 129, 3 D.-K. *σοφῶν . . . ἐπιήρανος ἔργων* || 16 cf. 2, 7 *πίνωμεν, παίζωμεν* | *τὰ δίκ. φρον.*: aeque se gerere iuxta mores convivii (Xenophan. 1, 15ss et fr. adesp. 12), quibus boni convivae (v. 12 *τῶν ἀγαθῶν*) obsequi debent || 2 hanc elegiam ab Ione Chio abiudicavit Wil. (Kl. Schr. IV 438), qui Ioni Samio dedit, sed cf. Köhler 157s || 1 *ἡμέτερος βασιλεύς*: alii Iovem (Jacobs), alii Bacchum (Nieberding, cf. 1, 12. 13), alii vinum (Welcker), alii magistrum convivii intelligunt, alii denique Lacedaemoniorum regem (Nieberding, Hermann) quem Archidamum agnoverunt e Proclis genere natum (cf. v. 6) O. Müller, Haupt, Köhler || 2 *κρητῆρι οἰνοχόαι* (*-όοι* CE) (II) | *θεράποντες* (II) CE

κιρνάντων προχύταισιν ἐν ἀργυρέοισ᾽· ὁ δὲ χρυσός
  οἶνον ἔχων χειρῶν †νιζέτω† εἰς ἔδαφος.
σπένδοντες δ᾽ ἁγνῶς Ἡρακλεῖ τ᾽ Ἀλκμήνῃ τε,
  Προκλεῖ Περσείδαις τ᾽ ἐκ Διὸς ἀρχόμενοι
πίνωμεν, παίζωμεν· ἴτω διὰ νυκτὸς ἀοιδή,
  ὀρχείσθω τις· ἑκὼν δ᾽ ἄρχε φιλοφροσύνης.
ὅντινα δ᾽ εὐειδὴς μίμνει θήλεια πάρευνος,
  κεῖνος τῶν ἄλλων κυδρότερον πίεται.

3 (3 D.)

αὐτὰρ ὅ γ᾽ ἐμμαπέως τὸν ὀρίγανον ἐν χερὶ κεύθει.

4 (5 D.)

ὣς ὁ μὲν ἠνορέῃ τε κεκασμένος ἠδὲ καὶ αἰδοῖ

3 cf. Hesych. προχύτης· ποτήριόν τι || 3 Athen. 2 p. 68b ὅτι εἴρηται ἀρσενικῶς ὁ θύμος καὶ ὁ ὀρίγανος. Ἀναξανδρίδης (fr. 50 K.) ... Ἴων· [CE 1]. θηλυκῶς δὲ Πλάτων (fr. 154 K.) ἢ Κάνθαρος ... οὐδετέρως δ᾽ Ἐπίχαρμος (fr. 17 Kaib.) καὶ Ἀμειψίας (fr. 35 K.) | cf. Et. Gen. s. v. ὀρίγανον (ed. Miller, Mélanges 227); Et. M. 630, 18 || 4 Diog. Laert. 1, 119 φησὶ δὲ Δοῦρις ἐν τῷ δευτέρῳ τῶν Ὥρων (FGrHist 76 F 22) ἐπιγεγράφθαι αὐτῷ τὸ ἐπίγραμμα τόδε (Anth. P. 7, 93)· τῆς σοφίης πάσης ἐν ἐμοὶ τέλος· ἢν δέ τι πλεῖον/Πυθαγόρῃ τὠμῷ λέγε ταῦθ᾽ ὅτι πρῶτος ἁπάντων/ ἔστιν ἀν᾽ Ἑλλάδα γῆν· οὐ ψεύδομαι ὧδ᾽ ἀγορεύων. Ἴων δ᾽ ὁ Χῖός φησιν περὶ αὐτοῦ· [1–4]

3 αὐτὰρ ὅ γ᾽ Hom. | ξ 485 ὁ δ᾽ ἄρ᾽ ἐμμαπέως (E 836) | ἐν φρεσὶ κεύθειν Hom.

3s locum obscurum alii aliter emendaverunt: ὁ δὲ Χρύσης ο. ἔ. χειροῖν ν. Toup ὁ δ᾽ ἕκαστος ο. ἔ. χειροῖν ἰζέτω Bentley qui etiam alia coniecit προχύταισι δ᾽ ἐν ἀργυρέοισιν ἕκαστος ο. ἔ. διερὸν ν. Jacobs ὁ δὲ χρυσοῦ δῖνον ἔ. χειροῖν ἰζέτω εἰς ἔδρανον Haupt, D. (qui tamen νιζέτω εἰς ἔδαφος servat) ὁ δὲ κρήσας ('pincerna') ο. ἔ. χειροῖν ν. Lobeck, Soph. Ai. 184 ὁ δὲ Χρυσὸς ο. ἔ. χειροῖν ν. olim Bgk., Osann, Hermann ὁ δὲ χρυσοῦ οἰνοχόην χειρῶν (ut part. verbi χειρόω) Blum. | ὁ δὲ χρυσός scil. προχύτης est regis poculum quod argenteis poculis opponitur (Nieberding, Haupt) || 3 προχοαῖσιν ἐν ἀργυρέαις (I) || 4 νιζέτω corruptum, quod νίζειν nullo pacto 'stillare' vel 'effundere' significare potest; possis εἰβέτω (Weston ad Hermesian. 40) vel potius λειβέτω cum χειρῶν gen. abl. (= ἐκ χειρῶν) coniunctum || 5s ex heroum mentione, quibus poeta libare hortatur, convivium Argis agi opinatur Jacobs, in insula Chio Welcker, sed cf. Haupt 208ss || 7 πίν. παίζ. cf. 1, 16 πίνειν καὶ παίζειν || 8 cf. 1, 11 τοῦ ... φίλα τέκνα φιλοφροσύναι τε χοροί τε | ἄρχε ad regem referendum videtur || 10 ἁδρότερον Mein. | ad κυδρ. cf. Hesych. κυδρός· ἔνδοξος ... γαυριῶν, πεποιθώς (Ion fr. 13 N.[2] = 55 Blum.) et Xenophan. 2, 6 κυδρότερος προσορᾶν | πιέτω Mein., Farina || 3 ad ἐμμαπέως cf. C. F. Russo ad Hes. Scut. 231 | χειρὶ codd.: corr. Mus. || 4 ad rem cf. Wil., Kl. Schr. IV 436 adn. 2, Kranz 226ss, Sandbach 36 || 1 ὁ μέν: an Pherecydes incertum; vox ἠνορέη in sapientissimum vel doctissimum hominem minime quadrat, cf. Rathmann 45 | cf. ω 509 ἀλκῇ τ᾽ ἠνορέῃ τε κεκάσμεθα

καὶ φθίμενος ψυχῇ τερπνὸν ἔχει βίοτον,
εἴπερ Πυθαγόρης ἐτύμως ὁ σοφὸς περὶ πάντων
ἀνθρώπων γνώμας εἶδε καὶ ἐξέμαθεν.

5 (6 D.)

Ἑνδεκάχορδε λύρα, δεκαβάμονα τάξιν ἔχοισα
εἰς συμφωνούσας ἁρμονίας τριόδους,
πρὶν μέν σ' ἑπτάτονον ψάλλον διὰ τέσσαρα πάντες
Ἕλληνες σπανίαν μοῦσαν ἀειράμενοι

6 (31 Blum.)

Baton Sinop. FGrHist 268 F 6 ap. Athen. 10 p. 436f *Βάτων δ' ὁ Σινωπεὺς ἐν τοῖς περὶ Ἴωνος τοῦ ποιητοῦ φιλοπότην φησὶ γενέσθαι καὶ ἐρωτικώτατον τὸν Ἴωνα. καὶ αὐτὸς δὲ ἐν τοῖς ἐλεγείοις ἐρᾶν μὲν ὁμολογεῖ Χρυσίλλης τῆς Κορινθίας, Τελέου δὲ θυγατρός· ἧς καὶ Περικλέα τὸν Ὀλύμπιον ἐρᾶν φησι Τηλεκλείδης ἐν Ἡσιόδοις* (fr. 17 K.).

5 Cleonid. Isagog. harm. 12 (202, 8 Jan) = Euclid. VIII 266, 10 Menge *ἐπὶ μὲν οὖν τοῦ φθόγγου χρῶνται τῷ ὀνόματι* (scil. *τόνῳ*) *οἱ λέγοντες ἑπτάτονον τὴν φόρμιγγα, καθάπερ Τέρπανδρος καὶ Ἴων. ὁ μὲν γάρ φησιν* (fr. 4, 3s D.)*· σοὶ δ' ἡμεῖς τετράγηρυν ἀποστέρξαντες ἀοιδὰν ἑπτατόνῳ φόρμιγγι νέους κελαδήσομεν ὕμνους. ὁ δέ·* [1–4]

3s his verbis Ion obloqui videtur Heracliti sententiae 22 B 129 D.-K. = 17 Marcovich *Πυθαγόρης Μνησάρχου ἱστορίην ἤσκησεν ἀνθρώπων μάλιστα πάντων καὶ ἐκλεξάμενος ταύτας τὰς συγγραφὰς ἐποιήσατο ἑαυτοῦ σοφίην, πολυμαθίην, κακοτεχνίην* | *περὶ π. α.* 'praeter omnes homines' Kranz 228 (cf. 36 B 4, 18 D.-K.) coll. Heraclit. c. *ἱστορίην ἤσκησεν ἀνθρ. μάλ. πάντ.*; cf. etiam Anth. P. c. *πρῶτος ἁπάντων κτλ.* || 3 *ἐτύμως σοφός,* ⟨*ὅς*⟩ Sandbach, West coll. Crit. 5, 1 et Soph. 3, 3s D. = Page, Furth. Greek Epigr. 1040, 3s || 4 *ἀνθρώπων* cum *γνώμας* coniungit Wil. | *εἰδὲ καὶ ἐξέμαθε* **B** *ἴδε καὶ ἐξέμαθεν* **P** *ἤδεε κἀξέμαθεν* Die. || 5 Ionem Chium auctorem in dubium vocaverunt Wil., Timotheos 75 adn. 1, Die., Vorsokr. I[4] 288 adn., Marx 376 | de interpretatione cf. Comotti et Duse || 1 *ἐν δεκαχόρδε* **M** *ἐνδεκαχόρδῳ* **NWB**: corr. Bgk. | *λύρα* om. **L** | *τὴν* ante *δεκαβ.* codd.: del. Herm. | *δεκαβάμων* ('decem intervalla habens') hic tantum invenitur || 1s *ἔχοις* (*-εις* **N**) *ἀεὶ τὰς* codd.: corr. Wil., Kl. Schr. IV 148 (*ἔχοισα* iam Die.) *ἔχουσα τὰς* Meibom *ἔχουσα τρεῖς* Marx *ἔχοις, ᾇ εἶ* Blum. *ἔχουσα καὶ* dub. West || 2 *ἁρμονίης* Herm. | *τριώδους* codd.: corr. Meibom; *τρίοδοι* 'trivia' translate pro ternis tetrachordis lyrae chordarum undecim (Jan), uniuscuiusque harmoniae ternis generibus enharmonico, diatonico et chromatico (Comotti), trium tetrachordarum, Dorici, Ionici, Phrygii, ternis generibus enharmonico, diatonico et chromatico (Duse) || 3 *πρὶν* supra *πλὴν* **W** | *σ'*] *οὖν* **LW** | *ἔψαλον* **W** | *δὶς τέσσαρα* (i. e. bina tetrachorda lyrae septem chordarum) olim Bgk., Jan, Reinach, Levin; *τέσσαρα* i. e. *κρούματα* | *τεσσάρων* **L** || 4 *ἀειρόμενοι* Blum. *ἀνευράμενοι* Headlam

ΧΙΟΥ ΚΤΙΣΙΣ

7 (4 D. + 19 Blum.)

τήν ποτε Θησεΐδης ἔκτισεν Οἰνοπίων

*

ἐκ τῆς Τέῳ λόγχης λόγχας πόρε πεντήκοντα

8 (16 Blum.)

Paus. 7, 4, 8–10 *Ἴωνι δὲ τῷ ποιήσαντι τραγῳδίαν ἐστὶν ἐν τῇ συγγραφῇ τοιάδε εἰρημένα, Ποσειδῶνα ἐς τὴν νῆσον ἔρημον οὖσαν ἀφικέσθαι καὶ νύμφῃ τε ἐνταῦθα συγγενέσθαι καὶ ὑπὸ τὰς ὠδῖνας τῆς νύμφης χιόνα ἐξ οὐρανοῦ πεσεῖν ἐς τὴν γῆν, καὶ ἀπὸ τούτου Ποσειδῶνα τῷ παιδὶ ὄνομα θέσθαι Χίον· συγγενέσθαι δὲ αὐτὸν καὶ ἑτέρᾳ νύμφῃ καὶ γενέσθαι οἱ παῖδας Ἄγελόν τε καὶ Μέλανα· ἀνὰ χρόνον δὲ καὶ Οἰνοπίωνα ἐς τὴν Χίον καταῖραι ναυσὶν ἐκ Κρήτης, ἕπεσθαι* (**L**: *ἔσεσθαι* β *ἀφικέσθαι* **R¹PaVb**) *δέ οἱ καὶ τοὺς παῖδας Τάλον καὶ Εὐάνθην καὶ Μέλανα καὶ Σάλαγόν τε καὶ Ἀθάμαντα. ἀφίκοντο δὲ καὶ Κᾶρες ἐς τὴν νῆσον ἐπὶ τῆς Οἰνοπίωνος βασιλείας καὶ Ἄβαντες ἐξ Εὐβοίας. Οἰνοπίωνος δὲ καὶ τῶν παίδων ἔλαβεν ὕστερον Ἄμφικλος τὴν ἀρχήν· ἀφίκετο δὲ ἐξ Ἱστιαίας ὁ Ἄμφικλος τῆς ἐν Εὐβοίᾳ κατὰ μάντευμα ἐκ Δελφῶν. Ἕκτωρ δὲ ἀπὸ Ἀμφίκλου τετάρτῃ γενεᾷ – βασιλείαν γὰρ ἔσχε καὶ οὗτος – ἐπολέμησεν Ἀβάντων καὶ Καρῶν τοῖς οἰκοῦσιν ἐν τῇ νήσῳ, καὶ τοὺς μὲν ἀπέκτεινεν ἐν ταῖς μάχαις, τοὺς δὲ ἀπελθεῖν ἠνάγκασεν ὑποσπόνδους. γενομένης δὲ ἀπαλλαγῆς πολέμου Χίοις, ἀφικέσθαι τηνικαῦτα ἐς μνήμην Ἕκτορι ὡς σφᾶς καὶ Ἴωσι δέοι συνθύειν ἐς Πανιώνιον· τρίποδα δὲ ἆθλον λαβεῖν αὐτὸν ἐπὶ ἀνδραγαθίᾳ παρὰ τοῦ κοινοῦ φησι τοῦ Ἰώνων. τοσαῦτα εἰρηκότα ἐς Χίους Ἴωνα εὕρισκον· οὐ μέντοι ἐκεῖνό γε εἴρηκε, καθ' ἥντινα αἰτίαν Χῖοι τελοῦσιν ἐς Ἴωνας.* cf. FGrHist 392 F 1.

9 (18 Blum.)

Athen. 10 p. 426e [ACE] *ἢ γὰρ δύο πρὸς πέντε πίνειν φασὶ δεῖν ἢ ἕνα πρὸς τρεῖς. περὶ δὲ ταύτης τῆς κράσεως Ἴων ὁ ποιητὴς ἐν τῷ περὶ Χίου φησὶν ὅτι εὑρὼν*

7 (I) Plut. Thes. 20, 2 *ἔνιοι δὲ καὶ τεκεῖν ἐκ Θησέως Ἀριάδνην Οἰνοπίωνα καὶ Στάφυλον· ὧν καὶ ὁ Χῖος Ἴων ἐστὶ περὶ τῆς ἑαυτοῦ πατρίδος λέγων·* [1] || (II) Et. Orion. 94, 25 (Et. M. 569, 34) s. v. *λόγχη· λόγχας τὰς μερίδας Ἴωνες λέγουσιν. Ἴων ἐν Χίου κτίσει* (*κτήσει* codd.: corr. Bentley)· [2]. *εἴρηται δὲ παρὰ τὴν λῆξιν, λάχην τινὰ οὖσαν*, cf. FGrHist 392 F 3 || 2 cf. Hesych. *λόγχη· λῆξις, μερίς. δίλογχον· . . . λόγχας γὰρ ἐκάλουν τοὺς κλήρους. εὐλογχεῖν· εὐμοιρεῖν*

7 ad Chium conditam cf. Paus. 7, 4, 8 et Steph. Byz. 693, 7ss | *Χίου κτίσις* carmen elegiacum fuisse recte def. Cerri 127ss, negant Blum., Jacoby, Huxley || 1 versus ad elegiam de Chio condita pertinere videtur, cf. Schmid, Gesch. d. griech. Lit. I 2, 519 adn. 14 et vid. v. 2 | ad rem vid. Veneri 91s | ad Oenopionem, conditorem Chii cf. Anacr. fr. 505e P. (Gent., Helikon 1, 1961, 493ss) et Crit. 1, 6 *Χῖος . . . ἔναλος πόλις Οἰνοπίωνος* || 2 *ποιεῖν* (II): *πόρε* Cerri qui versum restituit | *πεντήκοντα* om. (II) Et. M., ubi *ποιεῖ ν̄* (i. e. *πεντήκοντα*) explicavit Bast | qui portiones (*κλήρους*) adsignat Athamas esse videtur, Oenopionis filius, Thei conditor (Blum.), cf. Anacr. fr. 142 Gent. (= 463 P.) cum adn. et vid. Veneri c. || 8 1 quomodo vox *συγγραφή* intelligenda sit explicat Cerri 129 || 9 2 *τὸ περὶ Χίου* idem esse ac *Χίου κτίσις* contendit Schmid, Gesch. d. griech. Lit. I 2, 519 adn. 14 | *εὑρὼν* (scil. *κρᾶσιν*): corruptum censent Kaib., Jac., *εὔροον* Blum.; ad inventa Palamedis cf. Aesch. fr. 304, 2s Mette *σῖτον δ' εἰδέναι διώρισα, ἄριστα, δεῖπνα δόρπα θ' αἱρεῖσθαι τρίτα*

ὁ μάντις Παλαμήδης ἐμαντεύσατο πλοῦν ἔσεσθαι τοῖς Ἕλλησι πίνουσιν τρεῖς πρὸς ἕνα κυάθους. οἱ δ' ἐπιτεταμένως χρώμενοι τῷ ποτῷ δύο οἴνου ἔπινον πρὸς πέντε ὕδατος. cf. FGrHist 392 F 2.

Incerti operis

10

Phot. Lex. I 218 Theodoridis ἀπειρόκαλος· *Ἴων* εἴρηκεν καὶ Πλάτων (Leg. 6 p. 775b) καὶ Δημοσθένης (22, 75; 24, 183).

3 Παλαμήδην A | πλοῦν] πλοῦτον Blum. || 4s vini temperatio, quae mixtione efficitur quinque aquae cyathorum cum duobus vini, est apta convivio non aliter atque illa tribus aquae cyathis cum uno vini constans (cf. R. Pretagostini, Quad. Urb. n. s. 10, 1982, 47ss), quam Palamedes commendavit || 10 ἀπειρόκαλος: vocem hexametri vel pentametri numeris adaequatam ex Ionis elegis haustam esse conieceris, cf. Leurini 156s

MELANTHIVS

TESTIMONIA VITAE ATQVE ARTIS[1])

1 Aristoph. Pac. 801ss

. . . *χο-*
ρὸν δὲ μὴ 'χῃ Μόρσιμος
μηδὲ Μελάνθιος, οὗ δὴ
πικροτάτην ὄπα γηρύσαντος ἤκουσ',
ἡνίκα τῶν τραγῳδῶν
τὸν χορὸν εἶχον ἀδελ-
φός τε καὶ αὐτός, ἄμφω
Γοργόνες ὀψοφάγοι, βατιδοσκόποι Ἅρπυιαι,
γραοσόβαι μιαροί, τραγομάσχαλοι ἰχθυολῦμαι.

2 Schol. ad l.

ὁ δὲ Μελάνθιος κωμῳδεῖται εἰς μαλακίαν καὶ ὀψοφαγίαν. καὶ πολὺ μᾶλλον ἐν τοῖς Κόλαξιν Εὔπολις (fr. 164 K.) *αὐτὸν ὡς κίναιδον διαβάλλει καὶ κόλακα* . . . cf. Test. 5. 6 et 14.

3 Aristoph. Pac. 1009ss

. . . *κᾆτα Μελάνθιον*
ἥκειν ὕστερον εἰς τὴν ἀγοράν,
τὰς δὲ πεπρᾶσθαι, τὸν δ' ὀτοτύζειν,
εἶτα μονῳδεῖν ἐκ Μηδείας·
'ὀλόμαν, ὀλόμαν ἀποχηρωθείς' κτλ. cf. Schol. ad l.

4 Aristoph. Av. 150s

. . . *ὅτιὴ νὴ τοὺς θεοὺς ὅσ' οὐκ ἰδὼν*
βδελύττομαι τὸν Λέπρεον ἀπὸ Μελανθίου.

5 Schol. ad l.

Μελάνθιος ὁ τραγικὸς κωμῳδεῖται ⟨*ὡς*⟩ (add. Capps) *λεπρὸς καὶ κακοπράγμων. Πλάτων δὲ αὐτὸν ἐν Σκευαῖς* (fr. 636 K.) *ὡς 'λάλον' σκώπτει. Καλλίας Πεδήταις* (fr. 636 K.).

---

1) Alia testimonia apud Snell, Trag. Graec. Fragm. I 136ss cum fragmentis afferuntur.

6 Schol. Aristoph. Av. 1073 Dübner

Διαγόραν τὸν Μήλιον· οὗτος μετὰ τὴν ἅλωσιν Μήλου ᾤκει ἐν Ἀθήναις, τὰ δὲ μυστήρια εὐτέλιζεν, ὡς πολλοὺς ἐκτρέπειν τῆς τελετῆς. τοῦτο οὖν ἐκήρυξαν κατ' αὐτοῦ Ἀθηναῖοι καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, ὥς φησι Μελάνθιος ἐν τῷ περὶ μυστηρίων κτλ.

7 Plut. Cim. 4, 1

Κίμων ὁ Μιλτιάδου μητρὸς ἦν Ἡγησιπύλης, γένος Θρᾴττης, θυγατρὸς Ὀλόρου τοῦ βασιλέως, ὡς ἐν τοῖς Ἀρχελάου (Test. 1) *καὶ Μελανθίου ποιήμασιν εἰς αὐτὸν Κίμωνα γεγραμμένοις ἱστόρηται.*

8 Plut. Cim. 4, 9

οὐ μὴν ἀλλὰ καὶ ὅλως φαίνεται τοῖς περὶ τὰς γυναῖκας ἐρωτικοῖς ὁ Κίμων ἔνοχος γενέσθαι· καὶ γὰρ Ἀστερίας τῷ γένει Σαλαμινίας καὶ πάλιν Μνήστρας τινὸς ὁ ποιητὴς Μελάνθιος μνημονεύει πρὸς τὸν Κίμωνα παίζων δι' ἐλεγείας, ὡς σπουδαζομένων ὑπ' αὐτοῦ.

9 Plut. De aud. poetis 4 p. 20c

ὁ μὲν οὖν Μελάνθιος εἴτε παίζων εἴτε σπουδάζων ἔλεγε διασῴζεσθαι τὴν Ἀθηναίων πόλιν ὑπὸ τῆς τῶν ῥητόρων διχοστασίας καὶ ταραχῆς· οὐ γὰρ ἀποκλίνειν ἅπαντας εἰς τὸν αὐτὸν τοῖχον, ἀλλὰ γίνεσθαί τινα τοῦ βλάπτοντος ἀνθολκὴν ἐν τῇ διαφορᾷ τῶν πολιτευομένων. αἱ δὲ τῶν ποιητῶν ὑπεναντιώσεις πρὸς αὐτοὺς ἀνταναφέρουσαι τὴν πίστιν οὐκ ἐῶσιν ἰσχυρὰν ῥοπὴν γενέσθαι πρὸς τὸ βλάπτον.

10 Plut. De audiendo 7 p. 41 cd

ἔχει δέ τι καὶ ἡ λέξις ἀπατηλόν, ὅταν ἡδεῖα καὶ πολλὴ καὶ μετ' ὄγκου τινὸς καὶ κατασκευῆς ἐπιφέρηται τοῖς πράγμασιν. ὡς γὰρ τῶν ὑπ' αὐλὸν ᾀδόντων αἱ πολλαὶ τοὺς ἀκούοντας ἁμαρτίαι διαφεύγουσιν, οὕτως περιττὴ καὶ σοβαρὰ λέξις ἀντιλάμπει τῷ ἀκροατῇ πρὸς τὸ δηλούμενον. ὁ μὲν γὰρ Μελάνθιος, ὡς ἔοικε, περὶ τῆς Διογένους τραγῳδίας ἐρωτηθεὶς οὐκ ἔφη κατιδεῖν αὐτὴν ὑπὸ τῶν ὀνομάτων ἐπιπροσθουμένην· αἱ δὲ τῶν πολλῶν διαλέξεις καὶ μελέται σοφιστῶν οὐ μόνον τοῖς ὀνόμασι παραπετάσμασι χρῶνται τῶν διανοημάτων, ἀλλὰ καὶ τὴν φωνὴν ἐμμελείαις τισὶ καὶ μαλακότησι καὶ περιᾴσεσιν ἐφηδύνοντες ἐκβακχεύουσι καὶ παραφέρουσι τοὺς ἀκροωμένους, κενὴν ἡδονὴν διδόντες καὶ κενοτέραν δόξαν ἀντιλαμβάνοντες. ὥστε αὐτοῖς συμβαίνει τὸ ὑπὸ Διονυσίου ῥηθέν.

11 Plut. Coniug. praec. 43 p. 144bc

Γοργίου τοῦ ῥήτορος (82 B 8a D.-K.) *ἀναγνόντος ἐν Ὀλυμπίᾳ λόγον περὶ ὁμονοίας τοῖς Ἕλλησιν ὁ Μελάνθιος* (*μέλανθος* codd.: corr. Xylander) *'οὗτος ἡμῖν' ἔφη 'συμβουλεύει περὶ ὁμονοίας, ὃς αὑτὸν καὶ τὴν γυναῖκα καὶ τὴν θεράπαιναν ἰδίᾳ τρεῖς ὄντας ὁμονοεῖν οὐ πέπεικεν;' ἦν γὰρ ὡς ἔοικέ τις ἔρως τοῦ Γοργίου καὶ ζηλοτυπία τῆς γυναικὸς πρὸς τὸ θεραπαινίδιον.*

12 Plut. Quaest. conv. 2 p. 633d

ἠγανάκτησε δὲ καὶ Ἄρχιππος ὁ δημαγωγὸς τῶν Ἀθηναίων ὑπὸ Μελανθίου σκωφθεὶς εἰς τὸ κυρτόν· ἔφη γὰρ αὐτὸν ὁ Μελάνθιος οὐ προεστάναι τῆς πόλεως ἀλλὰ ⟨προ⟩κεκυφέναι (suppl. Amyot).

13 Athen. 1 p. 6b

Κλέαρχος δὲ Μελάνθιόν φησι (fr. 55 Wehrli) *τοῦτ' εὔξασθαι λέγων· 'Τιθωνοῦ Μελάνθιος ἔοικε βουλεύσασθαι βέλτιον. ὁ μὲν γὰρ ἀθανασίας ἐπιθυμήσας ἐν θαλάμῳ κρέμαται πάντων ὑπὸ γήρως ἐστερημένος τῶν ἡδέων· Μελάνθιος δὲ τῶν ἀπολαύσεων ἐρῶν ηὔξατο τῆς μακραύχενος ὄρνιθος τὸν τράχηλον ἔχειν, ἵν' ὅτι πλεῖστον τοῖς ἡδέσιν ἐνδιατρίβῃ'.*

14 Athen. 8 p. 343c

τῆς αὐτῆς ἰδέας καὶ Μελάνθιος ἦν ὁ τῆς τραγῳδίας ποιητής· ἔγραψε δὲ καὶ ἐλεγεῖα. κωμῳδοῦσι δ' αὐτὸν ἐπὶ ὀψοφαγίᾳ Λεύκων ἐν Φράτερσιν (fr. 2 K.), *Ἀριστοφάνης ἐν Εἰρήνῃ* (v. 804), *Φερεκράτης ἐν Πετάλῃ* (fr. 139 K.). *ἐν δὲ τοῖς Ἰχθύσιν Ἄρχιππος τῷ δράματι* (fr. 28 K.) *ὡς ὀψοφάγον δήσας παραδίδωσι τοῖς ἰχθύσιν ἀντιβρωθησόμενον.*

15 Athen. 12 p. 549a

καὶ Μελάνθιος δὲ τὸν αὑτοῦ τράχηλον κατατείνων ἀπήγχετο ἐκ τῶν ἀπολαύσεων, κνισότερος ὢν τοῦ Ὀδυσσέως Μελανθίου.

16 Suda s. v. *Μελάνθιος* (III 350, 23 Adler)

Μελάνθιος καὶ Μόρσιμος. λέγει Ἀριστοφάνης (Pac. 809ss) *περὶ αὐτῶν οὕτως· ἄμφω Γοργόνες ὀψοφάγοι, βατιδισκόποι, ἅρπυιαι, γραοσόβαι, μιαροί, τραγομάσχαλοι, ἰχθυολῦμαι· ὧν καταχρεμψαμένη μέγα καὶ πλατὺ μοῦσα καὶ θεὰ μετ' ἐμοῦ ξύμπαιζε τὴν ἑορτήν. Γοργόνες, φοβεροὶ ἐς γαστριμαργίαν.* cf. Test. 1.

ΜΕΛΑΝΘΙΟΣ

Atheniensis saec. V med.

ΕΛΕΓΕΙΑ

αὐτοῦ γὰρ δαπάναισι θεῶν ναοὺς ἀγοράν τε
Κεκροπίαν κόσμησ' ἡμιθέων ἀρεταῖς.

Plut. Cim. 4, 7 (praecedit Test. 7) *ὁ δὲ Πολύγνωτος οὐκ ἦν τῶν βαναύσων, οὐδ' ἀπ' ἐργολαβίας ἔγραφε τὴν στοάν, ἀλλὰ προῖκα, φιλοτιμούμενος πρὸς τὴν πόλιν, ὡς οἵ τε συγγραφεῖς ἱστοροῦσι καὶ Μελάνθιος ὁ ποιητὴς λέγει τὸν τρόπον τοῦτον·* [1–2]. sequitur Test. 8

elegiam putavit Hi., vid. etiam Preller, Inscr. metr. XIII || 2 *κόσμησε καὶ* Steph. (*ἀγοραῖσιν* servato) | *ἀγοραῖσιν* codd.: corr. Reiske (in Plut. edit.), repetitionis (cf. *ἀγοράν* v. 1) vitandae causa. agitur de heroum virtutibus, quorum facta Polygnotus et in templis et in Stoa Poecile (cf. A. Rumpf, Polygnotos, Enc. Arte Antica VI 294) depinxit

DIONYSIVS CHALCVS

TESTIMONIA VITAE ATQVE ARTIS

1 Callim. *Ῥητορικῶν Ἀναγραφή* fr. 430 Pf.: vid. fr. 1 adn.

2 Athen. 13 p. 602bc

διὸ καὶ ὁ Ἀπόλλων ἡσθεὶς ἐπὶ τούτοις ἀναβολὴν τοῦ θανάτου τῷ Φαλάριδι ἐχαρίσατο, τοῦτο ἐμφήνας τοῖς πυνθανομένοις τῆς Πυθίας ὅπως αὐτῷ ἐπιθῶνται· ἔχρησεν δὲ καὶ περὶ τῶν ἀμφὶ τὸν Χαρίτωνα, προτάξας τοῦ ἑξαμέτρου τὸ πεντάμετρον, καθάπερ ὕστερον καὶ Διονύσιος ὁ Ἀθηναῖος ἐποίησε ὁ ἐπικληθεὶς Χαλκοῦς ἐν τοῖς ἐλεγείοις.

3 Plut. Nic. 5, 2s

εἰ δὲ μηδὲν ἐν κοινῷ πράττειν ἔχοι, δυσπρόσοδος ἦν καὶ δυσέντευκτος, οἰκουρῶν καὶ κατακεκλειμένος, οἱ δὲ φίλοι τοῖς ἐπὶ τὰς θύρας φοιτῶσιν ἐνετύγχανον καὶ παρῃτοῦντο συγγνώμην ἔχειν, ὡς καὶ τότε Νικίου πρὸς δημοσίας χρείας τινὰς καὶ ἀσχολίας ὄντος, καὶ ὁ μάλιστα ταῦτα συντραγῳδῶν καὶ συμπεριτιθεὶς ὄγκον αὐτῷ καὶ δόξαν Ἱέρων ἦν, ἀνὴρ τεθραμμένος ἐπὶ τῆς οἰκίας τοῦ Νικίου περί τε γράμματα καὶ μουσικὴν ἐξησκημένος ὑπ' αὐτοῦ, προσποιούμενος δ' υἱὸς εἶναι Διονυσίου τοῦ Χαλκοῦ προσαγορευθέντος, οὗ καὶ ποιήματα σῴζεται, καὶ τῆς εἰς Ἰταλίαν ἀποικίας ἡγεμὼν γενόμενος ἔκτισε Θουρίους.

4 Phot. Lex. I 282 Naber *Θουριομάντεις*

τοὺς περὶ Λάμπωνα· τὴν γὰρ εἰς Σύβαριν ἀποικίαν οἱ μὲν Λάμπωνι ἀνατιθέασιν, οἱ δὲ Ξενοκρίτῳ, οἱ δὲ Χαλκιδεῖ Διονυσίῳ . . .

5 Eust. in Il. *Φ* 393 p. 1243, 16

τὸ δὲ χάλκεον ἔγχος καὶ ὁ χάλκεος Ἄρης ἢ θώραξ καὶ τὰ τοιαῦτα μετουσιαστικὰ καὶ ὁ ἐκεῖθεν συναιρεθεὶς χαλκοῦς παρεισέκριναν τῷ βίῳ καί τινα Διονύσιον ποιητὴν καὶ ῥήτορα, ὃς χαλκοῦς, φασίν, ἐκλήθη διὰ τὸ συμβουλεῦσαι Ἀθηναίοις χαλκῷ νομίσματι χρήσασθαι. ὁ δ' αὐτὸς καὶ τοὺς ἐμπαθῶς ἐμφορουμένους οἴνου κυλίκων ἐρέτας ἔφη, ὡς ἱστορεῖ ὁ γράψας τὸ 'μητρόπολις τῶν δεινῶν ὁ οἶνος, δι' ὃν αἱ μέθαι, αἱ μανίαι, αἱ παροινίαι'. cf. Test. fr. 5.

6 Anonym. in Aristot. Rhet. 3 p. 1405a 32 (XXI 2, 169, 25 Rabe)

χαλκοῦν Διονύσιον λέγει τὴν Διονυσίου στήλην· οὗτος οὖν τοῖς ἐλεγείοις τοῖς ἀναγεγραμμένοις ἐν τῇ στήλῃ αὐτοῦ τὴν ποίησιν προσ-

αγορεύει καὶ καλεῖ κραυγὴν Καλλιόπης· ἄμφω γὰρ ἤτοι καὶ ἡ κραυγὴ καὶ ἡ ποίησις φωναί εἰσι. cf. fr. 7.

7 Stephan. in Aristot. Rhet. 3 p. 1405 a 31 (XXI 2, 314, 1 Rabe)

. . . οὕτω καὶ ὁ Ἀριστοτέλης ὧδε περὶ μεταφορᾶς διδάσκων καλῆς τε καὶ φαύλης λέγει . . . οἷον καὶ ἐν τοῖς ἐλεγείοις τῆς χαλκῆς στήλης τοῦ τυράννου Διονυσίου εὕρηται . . . ἀλλὰ καὶ 'κραυγὴ Καλλιόπης', ἡ ποίησις, μεταφορικόν ἐστι· ἡ γὰρ κραυγὴ ζῴου ἐστὶ κραυγή, ἡ δὲ Καλλιόπη μουσικῆς ποιὰ δύναμις . . . καὶ ἡ κραυ συλλαβὴ οὐκ ἔστιν ἡδεῖα ἀλλὰ τραχεῖα. ὅτι ἄμφω φωναί, καὶ ἡ προ καὶ ἡ κραυ, ἃς νῦν φωνάς, ἀνώτερον δὲ συλλαβὰς κέκληκε· φαύλη δὲ ἡ μεταφορὰ αὕτη διὰ τὸ ἄσημον καὶ δύσηχον τῆς φωνῆς. ἐν τῇ στήλῃ γοῦν οἶμαι τοῦ Διονυσίου ἐγράφησαν ἐλεγεῖα.

de duobus his testimoniis cf. West 60 'balbutiunt Stephanus et anonymus ad loc. . . . qui *Διονύσιον τὸν χαλκοῦν* quasi *τὴν χαλκὴν στήλην τοῦ τυράννου Διονυσίου* interpretantur'.

ΔΙΟΝΥΣΙΟΣ Ο ΧΑΛΚΟΥΣ

Atheniensis vel Thurinus saec. V

ΕΛΕΓΕΙΑ

1 (1 D.)

Ὦ Θεόδωρε, δέχου τήνδε προπινομένην
τὴν ἀπ' ἐμοῦ ποίησιν. ἐγὼ δ' ἐπιδέξια πέμπω
σοὶ πρώτῳ Χαρίτων ἐγκεράσας χάριτας.
καὶ σὺ λαβὼν τόδε δῶρον ἀοιδὰς ἀντιπρόπιθι,
συμπόσιον κοσμῶν καὶ τὸ σὸν εὖ θέμενος.

1 Athen. 15 p. 669 de *καὶ ὁ Δημόκριτος 'ἀλλ' ἵνα κἀγώ', φησίν, 'μνημονεύσω τῶν τοῦ Χαλκοῦ ποιητοῦ καὶ ῥήτορος Διονυσίου – Χαλκοῦς δὲ προσηγορεύθη διὰ τὸ συμβουλεῦσαι Ἀθηναίοις χαλκῷ νομίσματι χρήσασθαι, καὶ τὸν λόγον τοῦτον ἀνέγραψε Καλλίμαχος ἐν τῇ τῶν Ῥητορικῶν Ἀναγραφῇ* (fr. 430 Pf.) – *λέξω τι καὶ αὐτὸς ἐκ τῶν ἐλεγείων· σὺ δὲ ὦ Θεόδωρε (τοῦτο γάρ σου τὸ κύριον ὄνομα), δέχου' κτλ.* [1–5]

1 1 elegiarum initium putaverunt Bach, D. alii || 1s nota pentametrum ante hexametrum positum, cf. Test. 2 et Schmid-Staehlin IV 475 adn. 3 || 1ss ad rem cf. fr. 4 et Reitz., Epigr. u. Skol. 28ss | notabiles metaphorae e compotationis sermone sumptae (*προπιν. . . . ποίησιν, . . . ἐγκερ. χάρ. . . ., ἀοιδ. ἀντιπρ.*), cf. 3, 1 *ὕμνους οἰνοχοεῖν* et iam Anacr. 43 Gent. || 2 cf. 3, 1 et Crit. 4, 6; 8, 7; ad *ἐπιδέξια* (*ἐπὶ δεξιά* mallet Bgk.) cf. Hesych. *τὴν ἐπιδεξιάν* (*-δέξιαν* Reitz.) et Polluc. 6, 108 (vid. fr. 3, 1 adn. et Reitz., Epigr. u. Skol. 31 cum adn.) || 3 *προπόλῳ* pro *πρώτῳ* Hart. *προτέρῳ* Osann, alii alia | *Χαρ. ἐγκ. χάρ.*] nota verborum lusum et onomatopoeiam (Garzya) et cf. Meleagr. Anth. P. 5, 148 *τὰς Χάριτας χάρισιν* || 4 *ἀοιδᾶς* Welcker || 5 *συμποσίου κόσμον* frustra corr. Lehrs

2 (3 D.)

κότταβον ἐνθάδε σοὶ τρίτον ἑστάναι οἱ δυσέρωτες
ἡμεῖς προστίθεμεν γυμνασίῳ Βρομίου
κώρυκον. οἱ δὲ παρόντες ἐνείρετε χεῖρας ἅπαντες
ἐς σφαίρας κυλίκων· καὶ πρὶν ἐκεῖνον ἰδεῖν,
ὄμματι βηματίσασθε τὸν αἰθέρα τὸν κατὰ κλίνην,
εἰς ὅσον αἱ λάταγες χωρίον ἐκτατέαι.

3 (4 D.)

ὕμνους οἰνοχοεῖν ἐπιδέξια σοί τε καὶ ἡμῖν.
τόν τε σὸν ἀρχαῖον τηλεδαπόν τε φίλον
εἰρεσίᾳ γλώσσης ἀποπέμψομεν ἐς μέγαν αἶνον
τοῦδ' ἐπὶ συμποσίου· δεξιότης τε λόγου
Φαίακος Μουσῶν ἐρέτας ἐπὶ σέλματα πέμπει.

2 Athen. 15 p. 668e *μνημονεύει τῶν λατάγων καὶ τῶν κοττάβων καὶ ὁ Χαλκοῦς καλούμενος Διονύσιος ἐν τοῖς ἐλεγείοις διὰ τούτων·* [A 1–6, deest Epit.]. sequitur fr. 3 || 3 Athen. 15 p. 668f *ἐπὶ τούτοις ὁ Οὐλπιανὸς ᾔτει πιεῖν μεγάλῃ κύλικι, ἐπιλέγων ἐκ τῶν αὐτῶν ἐλεγείων καὶ τόδε·* [A 1–5, deest Epit.]. praecedit fr. 2

2 ad rem cf. Borthwick 49ss || 1ss cf. Crit. 1 et 8, 9s | de cottabo vid. inter alios Schneider, R. E. XI (1922), 1528ss, Lafaye, Daremberg–Saglio III 1, 866 et S. Mazzarino, Rend. Accad. Lincei 1939, 358ss || 1 *σοι* scil. Theodoro (cf. 1, 1), ut licet suspicari | *ἱστάναι* Casaub., probb. Bgk. et K. Sartori, Das Kottabosspiel der alten Griechen, München 1893, 98 | *δυσέρ.* hic primum adhibitum; de cottabi lusu amatorio cf. P. Mingazzini, Archäol. Anz. 65/66, 1950–51, 38ss || 2 *γυμν. Βρ.*, cf. 4, 2 || 3 *ἐνείρεται* A: corr. Mus. *ἐνείρατε* dub. West || 4 *σπείρας* pro *σφαίρας* O. Jahn 213, probb. Wil. (in adnn. ad Bergkianam tertiam editionem), Garzya alii | *πρὶν ἕκαστον ἰεῖν* Dalecampius (et Pursanus ap. Schweigh.) *πρὶν ἐκεῖσε δικεῖν* Edm., alii alia || 5s 'iubentur convivae oculis metiri spatium inter lectulum, in quo quisque decumbebat, et vas, in quod iaculari vinum oporteret, quamque alte, ut recte ferirent, iaciendum esset vinum' Schndw. || 5 *βηματίσασθε* Mus. *-σαισθε* A, probb. edd. plerique | *ἀέρα* v. l., acceperunt Bgk., Sartori, Edm. | *κατακλινῇ* v. l., recepit Bach (nunc et Borthwick) | *κλίνης* Sartori || 6 *ἐκτέταται* A: corr. Büch. *ἐκτέαται* Herm. *ἐντατέαι* Borthwick || 3 1 cf. 1, 2, Crit. 4, 6; 8, 7 et Polluc. 6, 108 *καὶ μυρρίνην ἐπὶ δεξιὰ περιφέροντές τινες καὶ ἔκπωμα καὶ λύραν ᾄδειν ἠξίουν* || 2 *τόν τε* A *τόνδε* Mus., probb. Bach, Bgk. alii | *σὸν* A *τὸν* Bgk. | *τηλεπαδον* A: corr. Casaub. | *ἀρχαῖον . . . φίλον* non vetustum vinum, ut iam inde a Schweigh. putant plerique, sed extraneum hospitem intellegit Wil. (Hell. Dicht. II 150 adn. 2) || 3 *εἰρεσίῃ* A, sed cf. 5, 1; ad metaphoram e re nautica repetitam cf. v. 5; 5, 1 et ex. gr. Pind. fr. 124ab Sn.-Maehl. vel Eur. Iph. T. 289 (et Bruhn ad l.). de re fusius egit Slater 161ss || 4 *τοῦδ' ἀπὸ* Emperius (olim etiam Bgk.) | *δὲ* pro *τε* Bgk.[1] || 5 *Φαίακας* mallent Casaub., Herm., Garzya alii, 'der Witz der Phäakischen Rede' intellegit Wil., sed Phaeax aequalis Dionysii fuisse videtur (cf. Th. Lenschau, R. E. XIX 2 (1938), 1534ss), ut iam putaverat Osann et nunc etiam D. Smart, Journ. Hell. Stud. 92, 1972, 142 cum adn.; de Phaeacum familia vid. J. K. Davies, Athenian Propertied Families 600–300 B. C., Oxford 1971, 521ss | *Μουσ. ἐρ.*, cf. v. 3 *εἰρ. γλ.* | *πέμψει* olim Bgk.

4 (2 D.)

ἀγγελίας ἀγαθῆς δεῦρ' ἴτε πευσόμενοι
καὶ κυλίκων ἔριδας διαλύσατε καὶ κατάθεσθε
τὴν ξύνεσιν παρ' ἐμοὶ καὶ τάδε μανθάνετε.

5 (5 D.)

καί τινες οἶνον ἄγοντες ἐν εἰρεσίᾳ Διονύσου,
συμποσίου ναῦται καὶ κυλίκων ἐρέται,
⟨μάρνανται⟩ περὶ τοῦδε· τὸ γὰρ φίλον οὐκ ἀπόλωλεν.

6 (6 D.)

τί κάλλιον ἀρχομένοισιν
ἢ καταπαυομένοις ἢ τὸ ποθεινότατον;

4 Athen. 15 p. 669b πρὸς ὃν (i. e. Οὐλπιανόν) ὁ Κύνουλκος ... ἔφη· 'τίς οὗτος ὁ τῶν συρβηνέων χορός; καὶ αὐτὸς δὲ τούτων τῶν ἐπῶν μεμνημένος τινῶν ἐρῶ, ἵνα μὴ ὁ Οὐλπιανὸς βρενθύηται ὡς ἐκ τῶν ἀποθέτων τοῖς Ὁμηρίδαις μόνος ἀνασπάσας ⟨λήψεται⟩ (add. Wil.) τὰ κοττάβεια [A 1–3, deest Epit.] εἰς τὴν παροῦσαν ζήτησιν ἐπιτήδεια ὄντα. praecedit fr. 3 || 5 Athen. 10 p. 443cd ὁ Ποντιανὸς ἔφη πάντων τούτων εἶναι τῶν δεινῶν μητρόπολιν τὸν οἶνον, δι' ὃν καὶ τὰς μέθας καὶ τὰς μανίας, ἔτι δὲ καὶ τὰς παροινίας γίνεσθαι· οὗ τοὺς ἐκπαθῶς μεταλαμβάνοντας οὐ κακῶς ὁ Χαλκοῦς ἐπικαλούμενος Διονύσιος ἐν τοῖς ἐλεγείοις κυλίκων ἐρέτας ἔφη· [A 1–3, deest Epit.]. cf. Test. 5 || 6 (I) Athen. 15 p. 702bc ταῦτα, φίλτατε Τιμόκρατες, κατὰ τὸν Πλάτωνα (Epist. 2 p. 314c) οὐ Σωκράτους νέου καὶ καλοῦ παίγνια, ἀλλὰ τῶν δειπνοσοφιστῶν σπουδάσματα. κατὰ γὰρ τὸν Χαλκοῦν Διονύσιον· [1–2] || (II) Eust. in Il. p. 1164, 23 ἔτι ἱστορία καὶ ὅτι τὸ ἀρχόμενοι Λίνον καὶ λήγοντες καλέουσιν (cf. Ps.-Hes. fr. 305, 4 Merk.-West) ... σύμφωνον δὲ ἔχει καὶ τό· [1–2]. παροιμιώδης δὲ οὗτος λόγος

4 1 Σ 18s λυγρῆς πεύσεαι ἀγγελίης, P 685s πύθηαι λυγρῆς ἀγγελίης || 6 1s Pind. fr. 89a Sn.-Maehl. τί κάλλιον ἀρχομένοισ(ιν) ἢ καταπαυομένοισιν ἢ ... ἀεῖσαι; Aristoph. Equ. 1264ss τί κάλλιον ἀρχομένοισιν ἢ καταπαυομένοισιν ἢ ... ἀείδειν ...;

4 1 ἀγγελίης Bach, Schneider alii | πεσσόμενοι A: corr. Casaub. || 2 κυλ. ἔρ. de cottabi certamine agi videtur; ad metaphoram e palaestrae sermone derivatam cf. 2, 2 γυμνασίῳ Βρομίου, Crit. 8, 10 Βρομίου ψακάδεσσιν etc.; de Dionysii studio ad γριφῶδες et ad lepidum sermonem vid. Wil., Hell. Dicht. I 97 adn. 1 et Blumenthal 23 | διαλύετε Mus. || 5 1 cf. H 467 νῆες ... οἶνον ἄγουσαι | κἄν τινες Mus. | εἰρεσίῃ Schndw., Bgk. alii | εἰρεσίᾳ Διον.] ad metaphoram cf. v. 2 συμπ. ναῦται καὶ κυλ. ἐρέται, 3, 1 cum adn. et Giangrande 101, qui Ap. Rhod. 2, 467 confert || 2 συμποσίων Herm. || 3 ⟨μάρνανται⟩ Herm., probb. D. alii ⟨εἴρονται⟩ Hart. ⟨σπεύδουσιν⟩ Ebert coll. P 120s | ὦκ' pro οὐκ Herm. | ad rem cf. 6 cum adn. || 6 ad locum communem cf. Garzya 101 adn. 35 || 1 ἀρχομένοις (I) (II): corr. Casaub. || 2 τὸ πιθανότατον Mus. τί ποθεινότερον olim Bgk., ad rem cf. 5, 3

7 (7 D.)

κραυγὴ(ν) Καλλιόπης

7 Aristot. Rhet. 3, 2 p. 1405a 31 *ἔστιν δὲ καὶ ἐν ταῖς συλλαβαῖς ἁμαρτία, ἐὰν μὴ ἡδείας ᾖ σημεῖα φωνῆς, οἷον Διονύσιος προσαγορεύει ὁ Χαλκοῦς ἐν τοῖς ἐλεγείοις 'κραυγὴν Καλλιόπης' τὴν ποίησιν, ὅτι ἄμφω φωναί· φαύλη δὲ ἡ μεταφορὰ* † *ταῖς ἀσήμοις φωναῖς* †. cf. Test. 6 et 7.

SOCRATES

TESTIMONIA[1])

1 Plat. Phaed. p. 60c–61d

ὁ οὖν Κέβης ὑπολαβών, Νὴ τὸν Δία, ὦ Σώκρατες, ἔφη, εὖ γ' ἐποίησας ἀναμνήσας με. περὶ γάρ τοι τῶν ποιημάτων ὧν πεποίηκας ἐντείνας τοὺς τοῦ Αἰσώπου λόγους καὶ τὸ εἰς τὸν Ἀπόλλω προοίμιον καὶ ἄλλοι τινές με ἤδη ἤροντο, ἀτὰρ καὶ Εὔηνος (Test. 11) *πρῴην, ὅτι ποτὲ διανοηθείς, ἐπειδὴ δεῦρο ἦλθες, ἐποίησας αὐτά, πρότερον οὐδὲν πώποτε ποιήσας. εἰ οὖν τί σοι μέλει τοῦ ἔχειν ἐμὲ Εὐήνῳ ἀποκρίνασθαι ὅταν με αὖθις ἐρωτᾷ — εὖ οἶδα γὰρ ὅτι ἐρήσεται — εἰπὲ τί χρὴ λέγειν. Λέγε τοίνυν, ἔφη, αὐτῷ, ὦ Κέβης, τἀληθῆ, ὅτι οὐκ ἐκείνῳ βουλόμενος οὐδὲ τοῖς ποιήμασιν αὐτοῦ ἀντίτεχνος εἶναι ἐποίησα ταῦτα — ᾔδη γὰρ ὡς οὐ ῥᾴδιον εἴη — ἀλλ' ἐνυπνίων τινῶν ἀποπειρώμενος τί λέγοι, καὶ ἀφοσιούμενος εἰ ἄρα πολλάκις ταύτην τὴν μουσικήν μοι ἐπιτάττοι ποιεῖν . . . νῦν δ' ἐπειδὴ ἥ τε δίκη ἐγένετο καὶ ἡ τοῦ θεοῦ ἑορτὴ διεκώλυέ με ἀποθνῄσκειν, ἔδοξε χρῆναι, εἰ ἄρα πολλάκις μοι προστάττοι τὸ ἐνύπνιον ταύτην τὴν δημώδη μουσικὴν ποιεῖν, μὴ ἀπειθῆσαι αὐτῷ, ἀλλὰ ποιεῖν· ἀσφαλέστερον γὰρ εἶναι μὴ ἀπιέναι πρὶν ἀφοσιώσασθαι ποιήσαντα ποιήματα καὶ πιθόμενον τῷ ἐνυπνίῳ. οὕτω δὴ πρῶτον μὲν εἰς τὸν θεὸν ἐποίησα οὗ ἦν ἡ παροῦσα θυσία· μετὰ δὲ τὸν θεόν, ἐννοήσας ὅτι τὸν ποιητὴν δέοι, εἴπερ μέλλοι ποιητὴς εἶναι, ποιεῖν μύθους ἀλλ' οὐ λόγους, καὶ αὐτὸς οὐκ ἦ μυθολογικός, διὰ ταῦτα δὴ οὓς προχείρους εἶχον μύθους καὶ ἠπιστάμην, τοὺς Αἰσώπου, τούτων ἐποίησα* (cf. fr. 1) *οἷς πρώτοις ἐνέτυχον.*

2 Plut. De aud. poetis 2 p. 16bc

ὅθεν ὁ Σωκράτης ἔκ τινων ἐνυπνίων ποιητικῆς ἁψάμενος αὐτὸς μέν, ἅτε δὴ γεγονὼς ἀληθείας ἀγωνιστὴς τὸν ἅπαντα βίον, οὐ πιθανὸς ἦν οὐδ' εὐφυὴς ψευδῶν δημιουργός, τοὺς δ' Αἰσώπου τοῖς ἔπεσι μύθους ἐνέμειξεν, ὡς ποίησιν οὐκ οὖσαν ᾗ ψεῦδος μὴ πρόσεστι.

3 Diog. Laert. 2, 42

ἀλλὰ καὶ παιᾶνα κατά τινας ἐποίησεν (scil. *ὁ Σωκράτης*), *οὗ ἡ ἀρχή· Δήλι' Ἄπολλον χαῖρε καὶ Ἄρτεμι, παῖδε κλεεινώ* (fr. 2 D.).

---

1) Alia testimonia quae ad Socratis vitam et doctrinam pertinent apud G. Giannantoni (Socrate. Tutte le testimonianzi, Bari 1971) invenies.

4 Epict. Diatr. 2, 6, 26

καὶ τότε ἐσόμεθα ζηλωταὶ Σωκράτους, ὅταν ἐν φυλακῇ δυνώμεθα παιᾶνας γράφειν.

5 Dion. Chrys. Or. 43, 10 (II 66, 1 Arnim; II 86, 14 De Budé)

ἐτίμα (scil. *ὁ Σωκράτης*) . . . *τοὺς θεοὺς ὡς οὐδεὶς ἄλλος καὶ παιᾶνα ἐποίησεν εἰς τὸν Ἀπόλλω καὶ τὴν Ἄρτεμιν.*

6 Themist. Or. 2 p. 27c

καὶ ἔστι Σωκράτει προοίμιον πεποιημένον ἐν τόνῳ ἑξαμέτρῳ πρὸς τὸν θεόν.

7 Augustin. De consensu Evang. 1, 12 (CSEL XLIII 12)

Socrates autem, quem rursus in activa, qua mores informantur, omnibus praetulerunt, ita ut testimonio quoque dei sui Apollinis omnium sapientissimum pronuntiatum esse non taceant, Aesopi fabulas pauculis versibus persecutus est verba et numeros suos adhibens rebus alterius, usque adeo nihil scribere voluit, ut hoc se coactum imperio sui daemonis fecisse dixerit, sicut nobilissimus discipulorum eius Plato commemorat, in quo tamen opere maluit alienas quam suas exornare sententias.

8 Suda s. v. *Σωκράτης* (IV 403, 27 Adler)

. . . *ἀπέθανεν, ἔγγραφον οὐδὲν καταλιπὼν ἤ, ὥς τινες βούλονται, ὕμνον εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν καὶ μῦθον Αἰσώπειον δι᾽ ἐπῶν.*

ΣΩΚΡΑΤΗΣ

Atheniensis 469–399

1 (1 D.)

Αἴσωπός ποτ᾽ ἔλεξε Κορίνθιον ἄστυ νέμουσιν,
μὴ κρίνειν ἀρετὴν λαοδίκῳ σοφίῃ.

1 Diog. Laert. 2, 42 *ἐποίησε δὲ* (scil. *ὁ Σωκράτης*) *καὶ μῦθον Αἰσώπειον οὐ πάνυ ἐπιτετευγμένως, οὗ ἡ ἀρχή·* [1–2]. cf. Test. 1. 2. 7. 8

1 1s ad Aesopicam fabulam ranarum regem eligentium (fab. 66) referendos esse existimavit Grauert, De Aesopo 54 ‖ 2 Socrates, ut nos admonet P. Giannini, Xenophan. 2, 14 *προκρίνειν ῥώμην τῆς ἀγαθῆς σοφίης* etiam verborum collocatione videtur meminisse | ad *κρίνειν* = *προκρίνειν* cf. Liddell-Scott-Jones s. v. II 7 | *λαοδ.* hapax

2 (3 D.)

οἳ δὲ χοροῖς κάλλιστα θεοὺς τιμῶσιν, ἄριστοι
ἐν πολέμῳ . . .

2 ATHEN. 14 p. 628 ef *ἦν γὰρ τὸ τῆς ὀρχήσεως γένος τῆς ἐν τοῖς χοροῖς εὔσχημον τότε καὶ μεγαλοπρεπὲς καὶ ὡσανεὶ τὰς ἐν τοῖς ὅπλοις κινήσεις ἀπομιμούμενον. ὅθεν καὶ Σωκράτης ἐν τοῖς ποιήμασιν τοὺς κάλλιστα χορεύοντας ἀρίστους φησὶν εἶναι τὰ πολέμια, λέγων οὕτως·* [1–2]

2 dubium sintne hexametri an elegi || de Socrate saltationis laudatore cf. Xenoph. Conv. 2, 15ss et Lucian. De salt. 25. ad saltationem ut praeparationem belli commendatam cf. Plat. Leg. 7 p. 796 c, Athen. 14 p. 631a (de pyrrhicha) etc.

Socrati pro Pallada tribuit Maxim. Conf. Loc. comm. 48 (PG 91, 944) distichon Anth. P. 10, 34, 1–2; Socrati etiam tribuendos censebat Bgk. versus, quos ex Herodico Crateteo descripsit Athenaeus 5 p. 219c

CRITIAS

TESTIMONIA SELECTA VITAE ATQVE ARTIS[1])

Vita et opera

1 (Vors. 372, 12) Plat. Tim. p. 20a–21a

Κριτίαν δέ που πάντες οἱ τῇδε ἴσμεν οὐδενὸς ἰδιώτην ὄντα ὧν λέγομεν ... (20d, loquitur Critias) *ἄκουε δή, ὦ Σώκρατες, λόγου μάλα μὲν ἀτόπου, παντάπασί γε μὴν ἀληθοῦς, ὡς ὁ τῶν ἑπτὰ σοφώτατος Σόλων ποτ' ἔφη. ἦν μὲν οὖν οἰκεῖος καὶ σφόδρα φίλος ἡμῖν Δρωπίδου τοῦ προπάππου, καθάπερ λέγει πολλαχοῦ καὶ αὐτὸς ἐν τῇ ποιήσει* (cf. Sol. fr. 22)· *πρὸς δὲ Κριτίαν τὸν ἡμέτερον πάππον εἶπεν, ὡς ἀπεμνημόνευεν αὖ πρὸς ἡμᾶς ὁ γέρων, ὅτι μεγάλα καὶ θαυμαστὰ τῆσδ' εἴη παλαιὰ ἔργα τῆς πόλεως ὑπὸ χρόνου καὶ φθορᾶς ἀνθρώπων ἠφανισμένα* ... (21a) *ἐγὼ φράσω, παλαιὸν ἀκηκοὼς λόγον οὐ νέου ἀνδρός. ἦν μὲν γὰρ δὴ τότε Κριτίας, ὡς ἔφη, σχεδὸν ἐγγὺς ἤδη τῶν ἐνενήκοντα ἐτῶν, ἐγὼ δέ πῃ μάλιστα δεκέτης.*

2 (Vors. 372, 21) Schol. ad l. (279 Greene)

ὁ δὲ Κριτίας ἦν μὲν γενναίας καὶ ἁδρᾶς φύσεως, ἥπτετο δὲ καὶ φιλοσόφων συνουσιῶν, καὶ ἐκαλεῖτο ἰδιώτης μὲν ἐν φιλοσόφοις, φιλόσοφος δ' ἐν ἰδιώταις. ἐτυράννευσεν δὲ καὶ αὐτὸς εἷς τῶν λ' γεγονώς.

3 Plat. Charm. p. 154ess

καὶ πάνυ γε, ἔφη ὁ Κριτίας, ἐπεί τοι καὶ ἔστιν (scil. *ὁ Χαρμίδης*) *φιλόσοφός τε καί, ὡς δοκεῖ ἄλλοις τε καὶ ἑαυτῷ, πάνυ ποιητικός. Τοῦτο μέν, ἦν δ' ἐγώ, ὦ φίλε Κριτία, πόρρωθεν ὑμῖν τὸ καλὸν ὑπάρχει ἀπὸ τῆς Σόλωνος συγγενείας. ἀλλὰ τί οὐκ ἐπέδειξάς μοι τὸν νεανίαν καλέσας δεῦρο; οὐδὲ γὰρ ἄν που εἰ ἔτι ἐτύγχανε νεώτερος ὤν, αἰσχρὸν ἂν ἦν αὐτῷ διαλέγεσθαι ἡμῖν ἐναντίον γε σοῦ, ἐπιτρόπου τε ἅμα καὶ ἀνεψιοῦ ὄντος* .... (157e) *ἥ τε γὰρ πατρῴα ὑμῖν* (loquitur Socrates) *οἰκία, ἡ Κριτίου τοῦ Δρωπίδου, καὶ ὑπὸ Ἀνακρέοντος* (fr. 180 Gent. = 495 P.) *καὶ ὑπὸ Σόλωνος* (fr. 22) *καὶ ὑπ' ἄλλων πολλῶν ποιητῶν ἐγκεκωμιασμένη παραδέδοται ἡμῖν, ὡς διαφέρουσα κάλλει τε καὶ ἀρετῇ καὶ τῇ ἄλλῃ λεγομένῃ εὐδαιμονίᾳ, καὶ αὖ ἡ πρὸς μητρὸς ὡσαύτως.*

---

1) Referuntur huc testimonia quae ad artem et fragmenta elegiaca illustranda praesertim valent; alia, sive ad vitam sive ad opera pertinentia, apud Dielsium (Vors. II 371–399), Kirchner (Prosop. Att. I 592s) et Snell, Trag. Graec. Fragm. I 170ss invenias licet.

4 (Vors. 372, 25) Xenoph. Mem. 1, 2, 12ss

ἀλλ᾽ ἔφη γε ὁ κατήγορος, Σωκράτει ὁμιλητὰ γενομένω Κριτίας τε καὶ Ἀλκιβιάδης πλεῖστα κακὰ τὴν πόλιν ἐποιησάτην. Κριτίας μὲν γὰρ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πάντων πλεονεκτίστατός τε καὶ βιαιότατος ἐγένετο, Ἀλκιβιάδης δὲ αὖ τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέστατός τε καὶ ὑβριστότατος .... (14) ἐγενέσθην μὲν γὰρ δὴ τὼ ἄνδρε τούτω φύσει φιλοτιμοτάτω πάντων Ἀθηναίων, βουλομένω τε πάντα δι᾽ ἑαυτῶν πράττεσθαι καὶ πάντων ὀνομαστοτάτω γενέσθαι .... (16) ... δήλω δ᾽ ἐγενέσθην ἐξ ὧν ἐπραξάτην· ὡς γὰρ τάχιστα κρείττονε τῶν συγγιγνομένων ἡγησάσθην εἶναι, εὐθὺς ἀποπηδήσαντε Σωκράτους ἐπραττέτην τὰ πολιτικά, ὧνπερ ἕνεκα Σωκράτους ὠρεχθήτην .... (24) καὶ Κριτίας δὴ καὶ Ἀλκιβιάδης, ἕως μὲν Σωκράτει συνήστην, ἐδυνάσθην ἐκείνῳ χρωμένω συμμάχῳ τῶν μὴ καλῶν ἐπιθυμιῶν κρατεῖν· ἐκείνου δ᾽ ἀπαλλαγέντε, Κριτίας μὲν φυγὼν εἰς Θετταλίαν ἐκεῖ συνῆν ἀνθρώποις ἀνομίᾳ μᾶλλον ἢ δικαιοσύνῃ χρωμένοις .... (25) τοιούτων δὲ συμβάντων αὐτοῖν, καὶ ὠγκωμένω μὲν ἐπὶ γένει, ἐπηρμένω δ᾽ ἐπὶ πλούτῳ, πεφυσημένω δ᾽ ἐπὶ δυνάμει, διατεθρυμμένω δὲ ὑπὸ πολλῶν ἀνθρώπων .... (29) ἀλλ᾽ εἰ καὶ μηδὲν αὐτὸς πονηρὸν ποιῶν ἐκείνους φαῦλα πράττοντας ὁρῶν ἐπῄνει, δικαίως ἂν ἐπιτιμῷτο. Κριτίαν μὲν τοίνυν αἰσθανόμενος ἐρῶντα Εὐθυδήμου καὶ πειρῶντα χρῆσθαι, καθάπερ οἱ πρὸς τἀφροδίσια τῶν σωμάτων ἀπολαύοντες, ἀπέτρεπε φάσκων ἀνελεύθερόν τε εἶναι καὶ οὐ πρέπον ἀνδρὶ καλῷ κἀγαθῷ τὸν ἐρώμενον, ᾧ βούλεται πολλοῦ ἄξιος φαίνεσθαι, προσαιτεῖν ὥσπερ τοὺς πτωχοὺς ἱκετεύοντα καὶ δεόμενον προσδοῦναι, καὶ ταῦτα μηδενὸς ἀγαθοῦ. τοῦ δὲ Κριτίου τοῖς τοιούτοις οὐχ ὑπακούοντος οὐδὲ ἀποτρεπομένου, λέγεται τὸν Σωκράτην ἄλλων τε πολλῶν παρόντων καὶ τοῦ Εὐθυδήμου εἰπεῖν ὅτι ὑικὸν αὐτῷ δοκοίη πάσχειν ὁ Κριτίας, ἐπιθυμῶν Εὐθυδήμῳ προσκνῆσθαι ὥσπερ τὰ ὕδια τοῖς λίθοις. ἐξ ὧν δὴ καὶ ἐμίσει τὸν Σωκράτην ὁ Κριτίας, ὥστε καὶ ὅτε τῶν τριάκοντα ὢν νομοθέτης μετὰ Χαρικλέους ἐγένετο, ἀπεμνημόνευσεν αὐτῷ καὶ ἐν τοῖς νόμοις ἔγραψε λόγων τέχνην μὴ διδάσκειν, ἐπηρεάζων ἐκείνῳ καὶ οὐκ ἔχων ὅπῃ ἐπιλάβοιτο, ἀλλὰ τὸ κοινῇ τοῖς φιλοσόφοις ὑπὸ τῶν πολλῶν ἐπιτιμώμενον ἐπιφέρων αὐτῷ καὶ διαβάλλων πρὸς τοὺς πολλούς.

5 (Vors. 373, 26) Xenoph. Hell. 2, 3, 1ss

τῷ δ᾽ ἐπιόντι ἔτει [404/3] ... *ἔδοξε τῷ δήμῳ τριάκοντα ἄνδρας ἑλέσθαι, οἳ τοὺς πατρίους νόμους συγγράψουσι, καθ᾽ οὓς πολιτεύσουσι. καὶ ᾑρέθησαν οἵδε· Πολυχάρης, Κριτίας* .... (15) *τῷ μὲν οὖν πρώτῳ χρόνῳ ὁ Κριτίας τῷ Θηραμένει ὁμογνώμων τε καὶ φίλος ἦν· ἐπεὶ δὲ*

αὐτὸς μὲν προπετὴς ἦν ἐπὶ τὸ πολλοὺς ἀποκτείνειν, ἅτε καὶ φυγὼν ὑπὸ τοῦ δήμου, ὁ δὲ Θηραμένης ἀντέκοπτε, λέγων ὅτι οὐκ εἰκὸς εἴη θανατοῦν, εἴ τις ἐτιμᾶτο ὑπὸ τοῦ δήμου, τοὺς δὲ καλοὺς κἀγαθοὺς μηδὲν κακὸν εἰργάζετο, ἐπεὶ καὶ ἐγώ, ἔφη, καὶ σὺ πολλὰ δὴ τοῦ ἀρέσκειν ἕνεκα τῇ πόλει καὶ εἴπομεν καὶ ἐπράξαμεν· (16) *ὁ δέ (ἔτι γὰρ οἰκείως ἐχρῆτο τῷ Θηραμένει) ἀντέλεγεν ὅτι οὐκ ἐγχωροίη τοῖς πλεονεκτεῖν βουλομένοις μὴ οὐκ ἐκποδὼν ποιεῖσθαι τοὺς ἱκανωτάτους διακωλύειν* .... (36) *οὐ μέντοι θαυμάζω* (loquitur Theramenes) *γε τὸ Κριτίαν †παρανενομηκέναι†· ὅτε γὰρ ταῦτα ἦν, οὐ παρὼν ἐτύγχανεν, ἀλλ' ἐν Θετταλίᾳ μετὰ Προμηθέως δημοκρατίαν κατεσκεύαζε καὶ τοὺς πενέστας ὥπλιζεν ἐπὶ τοὺς δεσπότας* .... (47) *σὺ* (loquitur Theramenes ad Critiam) *γὰρ δὴ ἐν μὲν τῇ δημοκρατίᾳ πάντως μισοδημότατος ἐνομίζου, ἐν δὲ τῇ ἀριστοκρατίᾳ πάντων μισοχρηστότατος γεγένησαι.*

6 (Vors. 374, 8) ibid. 2, 4, 8ss

ἐκ δὲ τούτου οἱ τριάκοντα οὐκέτι νομίζοντες ἀσφαλῆ σφίσι τὰ πράγματα ἐβουλήθησαν Ἐλευσῖνα ἐξιδιώσασθαι, ὥστε εἶναι σφίσι καταφυγήν, εἰ δεήσειε. καὶ παραγγείλαντες τοῖς ἱππεῦσιν ἦλθον εἰς Ἐλευσῖνα Κριτίας τε καὶ οἱ ἄλλοι τῶν τριάκοντα .... (10) *ἐκ δὲ τούτου λαβὼν ὁ Θρασύβουλος τοὺς ἀπὸ Φυλῆς περὶ χιλίους ἤδη συνειλεγμένους, ἀφικνεῖται τῆς νυκτὸς εἰς τὸν Πειραιᾶ* .... (11) *οἱ δὲ ἀπὸ Φυλῆς* .... *συνεσπειράθησαν ἐπὶ τὴν Μουνιχίαν* .... (19) *ἀπέθανον δ' ἐνταῦθα τῶν μὲν τριάκοντα Κριτίας τε καὶ Ἱππόμαχος* ....

7 (Vors. 373, 23) Aristot. Rhet. 1 p. 1375b 32

καὶ Κλεοφῶν κατὰ Κριτίου τοῖς Σόλωνος ἐλεγείοις ἐχρήσατο λέγων, ὅτι πάλαι ἀσελγὴς ἡ οἰκία· οὐ γὰρ ἄν ποτε ἐποίησε Σόλων· [fr. 22].

8 Cic. Tusc. disp. 1, 96

qui (*i. e. Theramenes*) cum coniectus in carcerem triginta iussu tyrannorum venenum ut sitiens obduxisset, reliquum sic e poculo eiecit, ut id resonaret, quo sonitu reddito adridens 'propino' inquit 'hoc pulchro Critiae', qui in eum fuerat taeterrimus. Graeci enim ⟨in⟩ conviviis solent nominare, cui poculum tradituri sint. lusit vir egregius extremo spiritu, cum iam praecordiis conceptam mortem contineret, vereque ei, cui venenum praebiberat, mortem eam est auguratus, quae brevi consecuta est.

9 Diod. 14, 33

. . . *οἱ δὲ τύραννοι τῇ δυνάμει πάσῃ καταβάντες εἰς τὸν Πειραιᾶ προσέβαλον τῇ Μουνυχίᾳ, Κριτίου τὴν ἡγεμονίαν ἔχοντος. ἐπὶ πολὺν δὲ χρόνον τῆς μάχης καρτερᾶς γενομένης, οἱ μὲν τύραννοι τοῖς πλήθεσιν ὑπερεῖχον, οἱ δὲ φυγάδες τῇ τῶν τόπων ὀχυρότητι. τέλος δὲ Κριτίου πεσόντος οἱ μετὰ τῶν τριάκοντα κατεπλάγησαν καὶ πρὸς τοὺς ὁμαλωτέρους τόπους κατέφυγον, οὐ τολμώντων τῶν φυγάδων εἰς ἐκείνους καταβαίνειν.*

10 (Vors. 372, 3) Diog. Laert. 3, 1

Πλάτων Ἀρίστωνος καὶ Περικτιόνης — ἢ Πωτώνης — ἥτις τὸ γένος ἀνέφερεν εἰς Σόλωνα, Ἀθηναῖος. τούτου γὰρ ἦν ἀδελφὸς Δρωπίδης, οὗ Κριτίας, οὗ Κάλλαισχρος, οὗ Κριτίας ὁ τῶν τριάκοντα καὶ Γλαύκων, οὗ Χαρμίδης καὶ Περικτιόνη, ἧς καὶ Ἀρίστωνος Πλάτων, ἕκτος ἀπὸ Σόλωνος.

11 (Vors. 371, 3) Philostr. Vit. soph. 1, 16 (II 17, 29 Kayser)

Κριτίας δὲ ὁ σοφιστής, εἰ μὲν κατέλυσε τὸν Ἀθηναίων δῆμον, οὔπω κακός . . . ἀλλ' ἐπεὶ λαμπρῶς μὲν ἐλακώνισε, προὐδίδου δὲ τὰ ἱερά, καθῄρει δὲ διὰ Λυσάνδρου τὰ τείχη, οὓς δ' ἤλαυνε τῶν Ἀθηναίων τὸ στῆναί ποι τῆς Ἑλλάδος ἀφῃρεῖτο πόλεμον Λακωνικὸν ἀνειπὼν ἐς πάντας, εἴ τις τὸν Ἀθηναῖον φεύγοντα δέξοιτο, ὠμότητι δὲ καὶ μιαιφονίᾳ τοὺς τριάκοντα ὑπερεβάλλετο βουλεύματός τε ἀτόπου τοῖς Λακεδαιμονίοις ξυνελάμβανεν, ὡς μηλόβοτος ἡ Ἀττικὴ ἀποφανθείη τῆς τῶν ἀνθρώπων ἀγέλης ἐκκενωθεῖσα, κάκιστος ἀνθρώπων ἔμοιγε φαίνεται ξυμπάντων, ὧν ἐπὶ κακίᾳ ὄνομα. καὶ εἰ μὲν ἀπαίδευτος ὢν ἐς τάδε ὑπήχθη, ἔρρωτο ἂν ὁ λόγος τοῖς φάσκουσιν ὑπὸ Θετταλίας καὶ τῆς ἐκείνῃ ὁμιλίας παρεφθορέναι αὐτόν . . . . ἐπεὶ δὲ ἄριστα μὲν ἦν πεπαιδευμένος, γνώμας δὲ πλείστας ἑρμηνεύων, ἐς Δρωπίδην δ' ἀναφέρων, ὃς μετὰ Σόλωνα Ἀθηναίοις ἦρξεν, οὐκ ἂν διαφύγοι παρὰ τοῖς πολλοῖς αἰτίαν τὸ μὴ οὐ κακίᾳ φύσεως ἁμαρτεῖν ταῦτα. καὶ γὰρ αὖ κἀκεῖνο ἄτοπον Σωκράτει μὲν τῷ Σωφρονίσκου μὴ ὁμοιωθῆναι αὐτόν, ᾧ πλεῖστα δὴ συνεφιλοσόφησε σοφωτάτῳ τε καὶ δικαιοτάτῳ τῶν ἐφ' ἑαυτοῦ δόξαντι, Θετταλοῖς δ' ὁμοιωθῆναι, παρ' οἷς ἀγερωχία καὶ ἄκρατος καὶ τυραννικὰ ἐν οἴνῳ σπουδάζεται. ἀλλ' ὅμως οὐδὲ Θετταλοὶ σοφίας ἠμέλουν, ἀλλ' ἐγοργίαζον ἐν Θετταλίᾳ μικραὶ καὶ μείζους πόλεις ἐς Γοργίαν ὁρῶσαι τὸν Λεοντῖνον, μετέβαλον δ' ἂν καὶ ἐς τὸ κριτιάζειν, εἴ τινα τῆς ἑαυτοῦ σοφίας ἐπίδειξιν ὁ Κριτίας παρ' αὐτοῖς ἐποιεῖτο· ὁ δὲ ἠμέλει μὲν τούτου, βαρυτέρας δ' αὐτοῖς ἐποίει

τὰς ὀλιγαρχίας διαλεγόμενος τοῖς ἐκεῖ δυνατοῖς καὶ καθαπτόμενος μὲν δημοκρατίας ἁπάσης, διαβάλλων δ' Ἀθηναίους, ὡς πλεῖστα ἀνθρώπων ἁμαρτάνοντας, ὥστε ἐνθυμουμένῳ ταῦτα Κριτίας ἂν εἴη Θετταλοὺς διεφθορὼς μᾶλλον ἢ Κριτίαν Θετταλοί. ἀπέθανε μὲν οὖν ὑπὸ τῶν ἀμφὶ Θρασύβουλον, οἳ κατῆγον ἀπὸ φυγῆς τὸν δῆμον, δοκεῖ δ' ἐνίοις ἀνὴρ ἀγαθὸς γενέσθαι παρὰ τὴν τελευτήν, ἐπειδὴ ἐνταφίῳ τῇ τυραννίδι ἐχρήσατο· ἐμοὶ δὲ ἀποπεφάνθω μηδένα ἀνθρώπων καλῶς δὴ ἀποθανεῖν ὑπὲρ ὧν οὐκ ὀρθῶς εἵλετο, δι' ἅ μοι δοκεῖ καὶ ἡ σοφία τοῦ ἀνδρὸς καὶ τὰ φροντίσματα ἧττον σπουδασθῆναι τοῖς Ἕλλησιν· εἰ γὰρ μὴ ὁμολογήσει ὁ λόγος τῷ ἤθει, ἀλλοτρίᾳ τῇ γλώττῃ δόξομεν φθέγγεσθαι, ὥσπερ οἱ αὐλοί.

12 (Vors. 374, 16) Schol. Aeschin. 1, 39 (16 Dind.)

δεῖγμα δὲ τῆς τῶν τριάκοντα πολιτείας καὶ τόδε ἐστίν· Κριτίου γὰρ ἑνὸς τῶν τριάκοντα ἀποθανόντος ἐπέστησαν τῷ μνήματι Ὀλιγαρχίαν δᾷδα κατέχουσαν καὶ ὑφάπτουσαν Δημοκρατίαν, καὶ ἐπέγραψαν τάδε·

μνῆμα τόδ' ἐστ' ἀνδρῶν ἀγαθῶν, οἳ τὸν κατάρατον
δῆμον Ἀθηναίων ὀλίγον χρόνον ὕβριος ἔσχον.

ad rem vid. Wil., Ar. u. Ath. I 176s.

13 (Vors. 375, 19) Philopon. in Aristot. De anima 1 p. 405b 5 (XV 89, 8 Hayduck)

Κριτίαν εἴτε τὸν ἕνα τῶν τριάκοντα, ὃς καὶ Σωκράτους ἠκροάσατο, ἢ καὶ ἄλλον τινὰ λέγει, οὐδὲν διαφερόμεθα. φασὶ δὲ καὶ ἄλλον Κριτίαν γεγονέναι σοφιστήν, οὗ καὶ τὰ φερόμενα συγγράμματα εἶναι, ὡς Ἀλέξανδρος λέγει· τὸν γὰρ τῶν τριάκοντα μηδὲ γεγραφέναι ἄλλο τι πλὴν Πολιτείας ἐμμέτρους. cf. fr. 4 cum adn.; de duorum Critiarum quaestione cf. Wil., Ar. u. Ath. I 176 adn.

14 (Vors. 391, 8) Athen. 11 p. 463ef

τρόποι εἰσὶ πόσεων κατὰ πόλεις ἴδιοι, ὡς Κριτίας παρίστησιν ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ διὰ τούτων· 'ὁ μὲν Χῖος καὶ Θάσιος ἐκ μεγάλων κυλίκων ἐπιδέξια, ὁ δ' Ἀττικὸς ἐκ μικρῶν ἐπιδέξια, ὁ δὲ Θετταλικὸς ἐκπώματα προπίνει ὅτῳ ἂν βούλωνται μεγάλα. Λακεδαιμόνιοι δὲ τὴν παρ' αὐτῷ ἕκαστος πίνει, ὁ δὲ παῖς ὁ οἰνοχόος ⟨ἐπιχεῖ⟩ (suppl. Mein.) *ὅσον ἂν ἀποπίῃ.'*

15 (Vors. 391, 15) Athen. 11 p. 483b

Κριτίας δ' ἐν Λακεδαιμονίων Πολιτείᾳ γράφει οὕτως· 'χωρὶς δὲ τούτων τὰ σμικρότατα ἐς τὴν δίαιταν, ὑποδήματα ἄριστα Λακωνικὰ ⟨*καὶ*⟩ (suppl. Kaibel) *ἱμάτια φορεῖν ἥδιστα καὶ χρησιμώτατα· κώθων Λακωνικός, ἔκπωμα ἐπιτηδειότατον εἰς στρατείαν καὶ εὐφορώτατον ἐν γυλιῷ.'* cf. Plut. Lyc. 9.

16 (Vors. 392, 16) Athen. 11 p. 486e

Κριτίας ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ· 'κλίνη Μιλησιουργὴς καὶ δίφρος Μιλησιουργής, κλίνη Χιουργὴς καὶ τράπεζα Ῥηνιοεργής'.

17 (Vors. 394, 16) Galen. in Hippocr. De offic. 1, 1 (XVIII B 656 Kühn)

Κριτίας μὲν ἐν τῷ πρώτῳ Ἀφορισμῷ τάδε γράφει [88 B 39, 19ss] ... *καὶ ἐν Ὁμιλιῶν προτέρῳ* [88 B 40, 1s] ... *καὶ πολλάκις ἐν τῷ αὐτῷ καὶ ἐν τῷ δευτέρῳ δὲ τῶν Ὁμιλιῶν ἀντιδιαιρῶν ταῖς αἰσθήσεσι τὴν γνώμην πολλάκις εἴρηκεν ὥσπερ καὶ ὁ Ἀντιφῶν κτλ.* [87 B 1]. cf. etiam Test. 24.

18 (Vors. 395, 14) Galen. Lex. Hippocr. (XIX 94 Kühn)

δυσανίης· Κριτίας ἐν τῷ Περὶ φύσεως ἔρωτος ἢ ἀρετῶν οὕτως ἐξηγεῖται τοὔνομα· 'δυσανίης δέ ἐστιν ὅστις ἐπὶ τοῖς σμικροῖς ἀνιᾶται' κτλ.

19 (Vors. 383, 16) Athen. 11 p. 496a

πλημοχόη ... · χρῶνται δὲ αὐτῷ (i. e. *τῷ σκεύει*) *ἐν Ἐλευσῖνι τῇ τελευταίᾳ τῶν μυστηρίων ἡμέρᾳ, ἣν ἀπ' αὐτοῦ προσαγορεύουσι Πλημοχόας ... μνημονεύει αὐτῶν καὶ ὁ τὸν Πειρίθουν γράψας, εἴτε Κριτίας ἐστὶν ὁ τύραννος ἢ Εὐριπίδης λέγων οὕτως·* [Eur. fr. 592 N.²].

20 (Vors. 390, 9) Athen. 14 p. 662f

ὁμολογοῦνται δ' οἱ Θετταλοὶ πολυτελέστατοι τῶν Ἑλλήνων γεγενῆσθαι περί τε τὰς ἐσθῆτας καὶ τὴν δίαιταν· ὅπερ αὐτοῖς αἴτιον ἐγένετο καὶ τοῦ κατὰ τῆς Ἑλλάδος ἐπαγαγεῖν τοὺς Πέρσας, ἐζηλωκόσι τὴν τούτων τρυφὴν καὶ πολυτέλειαν. ἱστορεῖ δὲ περὶ τῆς πολυτελείας αὐτῶν καὶ Κριτίας ἐν τῇ Πολιτείᾳ αὐτῶν (i. e. *Θετταλῶν*). cf. etiam Athen. 12 p. 527a.

21 (Vors. 394, 5) Poll. 7, 59

τὰς δ' ἀναξυρίδας καὶ σκελέας καλοῦσιν· τὸ μὲν ὄνομα καὶ παρὰ Κριτίᾳ ἔστιν ἐν ταῖς Πολιτείαις. incertum an elegis adnumerandum sit.

22 (Vors. 386, 6) Sext. Empir. Adv. math. 9, 54

καὶ Κριτίας δὲ εἷς τῶν ἐν Ἀθήναις τυραννευσάντων δοκεῖ ἐκ τοῦ τάγματος τῶν ἀθέων ὑπάρχειν φάμενος, ὅτι οἱ παλαιοὶ νομοθέται ἐπίσκοπόν τινα τῶν ἀνθρωπίνων κατορθωμάτων καὶ ἁμαρτημάτων ἔπλασαν τὸν θεὸν ὑπὲρ τοῦ μηδένα λάθρᾳ τὸν πλησίον ἀδικεῖν, εὐλαβούμενον τὴν ὑπὸ τῶν θεῶν τιμωρίαν. ἔχει δὲ παρ' αὐτῷ τὸ ῥητὸν οὕτως· 'ἦν . . . γένος' (= Sisyph. fr. 1 N.[2]).

23 (Vors. 392, 19) Harpocr. Lex. s. v. *Λυκιουργεῖς* (196, 7 Dind.)

ἀγνοεῖν δὲ ἔοικεν ὁ γραμματικὸς ὅτι τὸν τοιοῦτον σχηματισμὸν ἀπὸ κυρίων ὀνομάτων οὐκ ἄν τις εὕροι γινόμενον, μᾶλλον δὲ ἀπὸ πόλεων καὶ ἐθνῶν· 'κλίνη Μιλησιουργής' Κριτίας φησὶν ἐν τῇ Λακεδαιμονίων Πολιτείᾳ. cf. Test. 16.

24 (Vors. 395, 8) Herodian. *π. μονήρους λέξεως* 40 (II 946, 1 Lentz)

τὸ δὲ παρὰ Κριτίᾳ ἐν ταῖς Ὁμιλίαις ὀρσότης ἀντὶ τοῦ ὁρμὴ παράσημον. vid. etiam Test. 41.

Ars ac veterum iudicia

25 (Vors. 374, 21) Aristot. Rhet. 3 p. 1416b 26

δεῖ δὲ τὰς μὲν γνωρίμους (scil. *πράξεις*) *ἀναμιμνῄσκειν· διὸ οἱ πολλοὶ οὐδὲν δέονται διηγήσεως, οἷον εἰ θέλεις Ἀχιλλέα ἐπαινεῖν (ἴσασι γὰρ πάντες τὰς πράξεις), ἀλλὰ χρῆσθαι αὐταῖς δεῖ. ἐὰν δὲ Κριτίαν, δεῖ· οὐ γὰρ πολλοὶ ἴσασιν.* cf. Anonym. ad l. (XXI 2, 241, 20 Rabe).

26 (Vors. 374, 32) Cic. De or. 2, 93

consecuti sunt hos (*i. e. Periclem, Alcibiadem, Thucydidem*) Critias, Theramenes, Lysias: multa Lysiae scripta sunt, non nulla Critiae; de Theramene audimus; omnes etiam tum retinebant illum Pericli sucum, sed erant paulo uberiore filo.

27 Cic. De or. 3, 139

quid Critias? quid Alcibiades? civitatibus quidem suis non boni, sed certe docti atque eloquentes, nonne Socraticis erant disputationibus eruditi? *cf. Test. 4 et Lactant. Div. Inst. 3, 19, 24.*

28 (Vors. 374, 39) Dion. Hal. Lys. 9, 11 ss Us.-Raderm.

καθαρός ἐστι (scil. *ὁ Λυσίας*) *τὴν ἑρμηνείαν πάνυ καὶ τῆς Ἀττικῆς γλώττης ἄριστος κανών, οὐ τῆς ἀρχαίας, ᾗ κέχρηται Πλάτων τε καὶ Θουκυδίδης, ἀλλὰ τῆς κατ' ἐκεῖνον τὸν χρόνον ἐπιχωριαζούσης, ὡς ἔστι τεκμήρασθαι τοῖς τε Ἀνδοκίδου λόγοις καὶ τοῖς Κριτίου καὶ ἄλλοις συχνοῖς.*

29 Dion. Hal. Isae. 122, 21 ss Us.-Raderm.

τῶν δὲ τοὺς ἀκριβεῖς προαιρουμένων λόγους καὶ πρὸς τὴν ἐναγώνιον ἀσκούντων ῥητορικήν, ὧν ἐγένετο Ἀντιφῶν τε ὁ Ῥαμνούσιος καὶ Θρασύμαχος ὁ Καλχηδόνιος (85 A 13 D.-K.) *καὶ Πολυκράτης ὁ Ἀθηναῖος, Κριτίας τε ὁ τῶν τριάκοντα ἄρξας καὶ Ζωίλος . . . τὰ δὲ αὐτὰ καὶ περὶ Κριτίου καὶ περὶ Ζωίλου τις ἂν εἰπεῖν ἔχοι, πλὴν ὅσον τοῖς χαρακτῆρσι τῆς ἑρμηνείας διαλλάττουσιν ἀλλήλων.*

30 (Vors. 374, 28) Ps.-Plut. Vita X orat. 1 p. 832 de

ὅσους μέντοι ἔχομεν ἐπὶ τὸ παλαιότατον ἀναφέροντες ἀπομνημονεῦσαι τὴν ἰδέαν τῶν λόγων ταύτην μεταχειρισαμένους, τούτους εὕροι τις ἂν ἐπιβεβληκότας Ἀντιφῶντι πρεσβύτῃ ἤδη ὄντι, οἷον Ἀλκιβιάδην, Κριτίαν, Λυσίαν, Ἀρχῖνον.

31 Aelian. V. H. 4, 15

τίς δὲ οὐκ ἂν νοῦν ἔχων συνηύξατο καὶ Ἀλκιβιάδῃ νόσον καὶ Κριτίᾳ . . .; Ἀλκιβιάδῃ μὲν καὶ Κριτίᾳ, ἵνα μὴ ἀποδράντες Σωκράτους ὁ μὲν ὑβριστὴς γένηται καὶ ποτὲ μὲν φιλολάκων ᾖ, ποτὲ δὲ βοιωτιάζῃ τὸν τρόπον καὶ αὖ πάλιν θετταλίζῃ καὶ τοῖς Μήδων καὶ Περσῶν ἀρέσκηται ἐν Φαρναβάζου γενόμενος· τυραννικώτατος δὲ καὶ φονικώτατος ὁ Κριτίας γενόμενος καὶ τὴν πατρίδα ἐλύπησε πολλὰ καὶ αὐτὸς μισούμενος τὸν βίον κατέστρεψε.

32 (Vors. 396, 6) Aelian. V. H. 10, 13

αἰτιᾶται Κριτίας Ἀρχίλοχον, ὅτι κάκιστα ἑαυτὸν εἶπεν. ʽεἰ γὰρ μὴʼ φησὶν ʽἐκεῖνος τοιαύτην δόξαν ὑπὲρ ἑαυτοῦ ἐς τοὺς Ἕλληνας ἐξήνεγκεν,

οὐκ ἂν ἐπυθόμεθα ἡμεῖς οὔτε ὅτι Ἐνιποῦς υἱὸς ἦν τῆς δούλης, οὔθ' ὅτι καταλιπὼν Πάρον διὰ πενίαν καὶ ἀπορίαν ἦλθεν ἐς Θάσον, οὔθ' ὅτι ἐλθὼν τοῖς ἐνταῦθα ἐχθρὸς ἐγένετο, οὔτε μὴν ὅτι ὁμοίως τοὺς φίλους καὶ τοὺς ἐχθροὺς κακῶς ἔλεγε. πρὸς δὲ τούτοις' ἦ δ' ὅς 'οὔτε ὅτι μοιχὸς ἦν, ᾔδειμεν ἂν εἰ μὴ παρ' αὐτοῦ μαθόντες, οὔτε ὅτι λάγνος καὶ ὑβριστής, καὶ τὸ ἔτι τούτων αἴσχιον, ὅτι τὴν ἀσπίδα ἀπέβαλεν. οὐκ ἀγαθὸς ἄρα ἦν ὁ Ἀρχίλοχος μάρτυς ἑαυτῷ, τοιοῦτον κλέος ἀπολιπὼν καὶ τοιαύτην ἑαυτῷ φήμην.' ταῦτα οὐκ ἐγὼ Ἀρχίλοχον αἰτιῶμαι, ἀλλὰ Κριτίας.

33 Philostr. Vit. soph. 1, 9 (II 12, 2 Kayser)

διαλεχθεὶς (scil. *ὁ Γοργίας*) *δὲ Ἀθήνησιν ἤδη γηράσκων εἰ μὲν ὑπὸ τῶν πολλῶν ἐθαυμάσθη, οὔπω θαῦμα, ὁ δέ, οἶμαι, καὶ τοὺς ἐλλογιμωτάτους ἀνηρτήσατο, Κριτίαν μὲν καὶ Ἀλκιβιάδην νέω ὄντε, Θουκυδίδην δὲ καὶ Περικλέα ἤδη γηράσκοντε.*

34 (Vors. 371, 3) Philostr. Vit. soph. 1, 16 (II 19, 12 Kayser) (praecedit Test. 11)

τὴν δὲ ἰδέαν τοῦ λόγου δογματίας ὁ Κριτίας καὶ πολυγνώμων σεμνολογῆσαί τε ἱκανώτατος οὐ τὴν διθυραμβώδη σεμνολογίαν, οὐδὲ καταφεύγουσαν ἐς τὰ ἐκ ποιητικῆς ὀνόματα, ἀλλ' ἐκ τῶν κυριωτάτων συγκειμένην καὶ κατὰ φύσιν ἔχουσαν. ὁρῶ τὸν ἄνδρα καὶ βραχυλογοῦντα ἱκανῶς καὶ δεινῶς καθαπτόμενον ἐν ἀπολογίας ἤθει, ἀττικίζοντά τε οὐκ ἀκρατῶς οὐδὲ ἐκφύλως — τὸ γὰρ ἀπειρόκαλον ἐν τῷ ἀττικίζειν βάρβαρον — ἀλλ' ὥσπερ ἀκτίνων αὐγαὶ τὰ Ἀττικὰ ὀνόματα διαφαίνεται τοῦ λόγου. καὶ τὸ ἀσυνδέτως δὲ ⟨χωρίον⟩ (suppl. Die.) *χωρίῳ προσβαλεῖν Κριτίου ὥρα, καὶ τὸ παραδόξως μὲν ἐνθυμηθῆναι, παραδόξως δ' ἀπαγγεῖλαι Κριτίου ἀγών, τὸ δὲ τοῦ λόγου πνεῦμα ἐλλιπέστερον μέν, ἡδὺ δὲ καὶ λεῖον, ὥσπερ τοῦ Ζεφύρου ἡ αὔρα.*

35 (Vors. 375, 16) Philostr. Vit. soph. 2, 1 (II 72, 7 Kayser)

προσέκειτο (scil. *ὁ Ἡρώδης*) *μὲν γὰρ πᾶσι τοῖς παλαιοῖς, τῷ δὲ Κριτίᾳ καὶ προσετετήκει καὶ παρήγαγεν αὐτὸν ἐς ἤθη Ἑλλήνων τέως ἀμελούμενον καὶ περιορώμενον.*

36 (Vors. 374, 35) Philostr. Ep. 73

λέγεται δὲ καὶ Ἀσπασία ἡ Μιλησία τὴν τοῦ Περικλέους γλῶτταν κατὰ τὸν Γοργίαν θῆξαι, Κριτίας δὲ καὶ Θουκυδίδης οὐκ ἀγνοοῦνται τὸ μεγαλόγνωμον καὶ τὴν ὀφρὺν παρ' αὐτοῦ κεκτημένοι, μεταποιοῦντες δὲ αὐτὸ ἐς τὸ οἰκεῖον· ὁ μὲν ὑπ' εὐγλωττίας, ὁ δὲ ὑπὸ ῥώμης.

37 (Vors. 374, 24) Athen. 4 p. 184d

ἔμελεν δὲ τοῖς πάλαι πᾶσιν Ἕλλησι μουσικῆς· διόπερ καὶ ἡ αὐλητικὴ περισπούδαστος ἦν. Χαμαιλέων γοῦν ὁ Ἡρακλεώτης ἐν τῷ ἐπιγραφομένῳ Προτρεπτικῷ (fr. 3 Wehrli) *Λακεδαιμονίους φησὶ καὶ Θηβαίους πάντας αὐλεῖν μανθάνειν, Ἡρακλεώτας τε τοὺς ἐν τῷ Πόντῳ καθ' ἑαυτὸν ἔτι, Ἀθηναίων τε τοὺς ἐπιφανεστάτους Καλλίαν τε τὸν Ἱππονίκου καὶ Κριτίαν τὸν Καλλαίσχρου.*

38 (Vors. 397, 4) Aristid. Ars rhet. 2, 7 (II 517, 11ss Spengel)

κατὰ μὲν οὖν τὴν ἀπαγγελίαν ἀμφότερα τὰ ἐννοήματα οὐκ ἔστι τραχέως εἰρημένα οὔτε τὸ 'ἔννοιά ποθ' ἡμῖν ἐγένετο' οὔτε τὸ 'ἀλλ' ἔμοιγε δοκεῖ'· ἐπειδὴ γὰρ ἐδόκει τὸ ἐν τῷ Συμποσίῳ εἰρημένον ἄδοξον εἶναι τὰ ἐν ταῖς παιδιαῖς διηγεῖσθαι, καὶ οὐδεὶς ἂν πολιτικὸς τοῦτο ἐποίησεν ἀδόξου ὄντος αὐτοῦ, μετὰ παραιτήσεως προήγαγεν 'ἀλλ' ἔμοιγε δοκεῖ'. εἰ δὲ ἀπὸ ὀνόματος ἤρξατο αὐτῷ λόγος ἀποφαντικοῦ, οἷον 'δοκεῖ δ' ἔμοιγε', σκληρότερος ἂν ἐγένετο ὁ λόγος καὶ μᾶλλον Κριτίου ἔδοξεν ἂν εἶναι ἤ τινος τῶν τοιούτων.

39 (Vors. 397, 8) Aristid. Ars rhet. 2, 15 (II 530, 5ss Spengel)

καὶ τὰ συγκριτικὰ δὲ σχήματα πάνυ μέν ἐστι τῆς ἀσφαλείας καὶ τοῦ συγγραφικοῦ λόγου μᾶλλόν ἐστιν, ἦθος δὲ καὶ αὐτὰ παρέχεται, οἷον 'μᾶλλον τοῖσδε, ὡσεί στρατηγοῖς καὶ ἱππάρχοις καὶ σπουδάρχαις'. εἰ δὲ σὺ τὸ ἐναντίον συλλαβὼν ἔλεγες 'ὡσεὶ ὅσοι μὲν τοὺς τοιούτους εἶναι λέγονται, οὓς ἂν ὁρῶσιν ἀρχαῖς τε καὶ τιμαῖς καὶ τοιαύταις δυνάμεσι πλέον τι τῶν ἄλλων ὑπεραίροντας, οὔ μοι δοκοῦσιν ὀρθῶς ποιεῖν', Κριτίου μᾶλλον ὁ τοιοῦτος τρόπος ἔδοξεν εἶναι ἤ τινος τῶν ἀρχαίων σοφιστῶν.

40 (Vors. 397, 14) Ps.-Dion. Chrys. Or. 21, 3 (II 267, 4 Arnim; II 335, 3 De Budé)

ἢ οὐκ οἶσθα Κριτίαν τὸν τῶν τριάκοντα, ὅτι κάλλιστον ἔφη εἶδος ἐν τοῖς ἄρρεσι τὸ θῆλυ, ἐν δ' αὖ ταῖς θηλείαις τοὐναντίον; οὐκοῦν δικαίως Ἀθηναῖοι νομοθέτην αὐτὸν εἵλοντο ἐπί γε τῷ μεταγράψαι τοὺς παλαιοὺς νόμους, ὃς οὐδένα αὐτῶν ἔλιπεν.

41 (Vors. 375, 3) Hermog. *π. ἰδεῶν* 2 (401, 25 Rabe)

ἔστι γὰρ καὶ οὗτος σεμνὸν μὲν παραπλησίως τῷ Ἀντιφῶντι καὶ διηρμένος πρὸς ὄγκον καὶ τὰ πολλὰ λέγων ἀποφαντικῶς, καθαρώτερος δὲ τὴν

λέξιν, καί, ὅτε περιβάλλοι, διευκρινῶν, ὥστε εἶναι καὶ σαφὴς ἅμα τῷ μεγέθει καὶ εὐκρινής. ἔχει δὲ πολλαχοῦ καὶ μάλιστα ἐν τοῖς Δημηγορικοῖς προοιμίοις καὶ τὸ ἀληθινόν τε καὶ πιθανόν. ἐπιμελὴς δὲ ὢν οὐ μετρίως ὅμως οὐχ ἁπλῶς χρῆται τῷ τοιούτῳ κόσμῳ, οὐδὲ κατὰ τὸν Ἀντιφῶντα προσκόρως καὶ σαφῆ τὴν ἐπιτήδευσιν ἔχοντι, ἀλλ' ὥστε μετέχειν καὶ κατὰ τοῦτο τοῦ ἀληθοῦς. τοῖς δ' ἄλλοις τοῦ ἤθους εἴδεσιν οὐ σφόδρα τι χρῆται, οἷον ἐπιεικείᾳ ἢ ἀφελείᾳ ἢ ὅσα τοιαῦτα. ταῦτα καὶ περὶ Κριτίου. de *Δημ. προοιμ.* cf. Wil., Ar. u. Ath. I 175 adn. 178.

42 (Vors. 375, 12) Phrynich. Praepar. soph. (= Phot. Bibl. 158 p. 101 b 4, II 118 Henry)

εἰλικρινοῦς δὲ καὶ καθαροῦ καὶ Ἀττικοῦ λόγου κανόνας καὶ στάθμας καὶ παράδειγμά φησιν ἄριστον Πλάτωνά τε καὶ ... Κριτίαν τε τὸν Καλλαίσχρου καὶ Ἀντισθένην ...

43 Mall. Theodor. De metris VI 589, 20 Keil

metrum dactylicum hexametrum inventum primitus ab Orpheo Critias asserit, Democritus (*68 B 16 D.-K.*) a Musaeo.

44 (Vors. 398, 5) Planud. in Hermog. Rhet. 5 (484, 2 Walz)

κατὰ δὲ ἀναστροφήν· οἷον 'τῷ ἀγῶνι τῶν Πυθίων', τοῦτο κοινὸν καὶ εὐτελές, ἀλλὰ Κριτίας ἀναστρέψας εἶπε· 'τῷ τῶν Πυθίων ἀγῶνι'.

45 Ibid. 561, 2 Walz

δέον γὰρ μετὰ τοὺς δέκα ῥήτορας διαλαβεῖν περὶ Κριτίου, μετὰ τὸν Ἀντιφῶντα τέταχεν αὐτόν· σχεδὸν γὰρ ὁ αὐτὸς εἶναι δοκεῖ τῷ Ἀντιφῶντι καὶ μηδὲν διαλλάττειν αὐτοῦ· ἕπεται δέ· τὸν Κριτίαν διὰ τὴν προλεχθεῖσαν αἰτίαν ἐν τῷ μεταξὺ τέταχεν.

ΚΡΙΤΙΑΣ

Atheniensis 460–403

ΕΛΕΓΕΙΑ

1 (1 D.)

κότταβος ἐκ Σικελῆς ἐστι χθονός, ἐκπρεπὲς ἔργον,
ὃν σκοπὸν ἐς λατάγων τόξα καθιστάμεθα·
εἶτα δ' ὄχος Σικελὸς κάλλει δαπάνῃ τε κράτιστος

*

Θεσσαλικὸς δὲ θρόνος, γυίων τρυφερωτάτη ἕδρα,
εὐναίου δὲ λέχους κάλλ⟨εῖ κῦδ⟩ος ἔχει
Μίλητός τε Χίος τ' ἔναλος πόλις Οἰνοπίωνος·
Τυρσηνὴ δὲ κρατεῖ χρυσότυπος φιάλη,

1 (I) Athen. 1 p. 28b *Κριτίας δὲ οὕτως* (subaud. *τὰ ἐξ ἑκάστης πόλεως ἰδιώματα . . . καταλέγει*)· [CE 1–14] *καὶ ἐπαινεῖται ὄντως ὁ Ἀττικὸς κέραμος* || (II) Athen. 15 p. 666b *πρῶτον μὲν ἡ τῶν κοττάβων εὕρεσις Σικελική ἐστιν παιδιά, ταύτην πρώτων εὑρόντων Σικελῶν, ὡς Κριτίας φησὶν ὁ Καλλαίσχρου ἐν τοῖς ἐλεγείοις διὰ τούτων*· [A 1–2] || (III) Schol. Aristoph. Pac. 1244 Dübner *κότταβος*: *Ἀθήναιος ἐν τῷ ιε'* (loc. cit.) *φησὶν ὅτι Σικελική τις ἐστὶ παιδιά, πρώτων εὑρόντων Σικελῶν, ὥς φησιν Κριτίας ὁ Καλλαίσχρου ἐν τοῖς ἐλεγείοις*· [1] || (IV) Eust. in Od. p. 1771, 43 . . . *πρὸς ὁμοιότητα τοῦ ἀλεξάνεμος χιτὼν ἐρρέθη καὶ νειὸς ἀλεξιάρη ἡ παρὰ Ἡσιόδῳ· καὶ ἀλεξίκακος . . . καὶ ἀλεξιβέλεμνος . . . καὶ τὸ ἀλεξιφάρμακον καὶ τὸ ἀλεξίλογον, οἷον*· [9. 11]. *εἶεν δὲ ἂν ἀλεξίλογα γράμματα ἢ τὰ ἀλέγοντα ἤγουν βοηθοῦντα εἰς λόγον, ἢ δι' ὧν ἀποσοβεῖται τὸ πλείω λέγειν*

1 5 cf. Soph. Ant. 425 *εὐνῆς . . . λέχος*, Eur. Med. 436 *κοίτας . . . λέκτρον* al. || 6 cf. Hymn. Ap. 180 *Μίλητον . . . ἔναλον πόλιν* (in eadem hexametri sede)

1 ad inventionum catalogum cf. Pind. fr. 125 Sn.-Maehl., Hermipp. fr. 63 K., Plin. N. H. 7, 56ss, Clem. Alex. Strom. 1, 16, 74ss et Kleingünther, *Πρῶτος εὑρετής* 145ss || 1 cf. Simiae Rhod. Epigr. 10, 1s | de cottabo cf. Dion. Ch. 2 cum adn. | cf. Anacr. fr. 31 Gent. *Σικελὸν κότταβον* cum adn. | *σικελικῆς* (I) E | *ἐστι* om. (I) | *εἰς ἔργον* (I) C *εἰς ἔριον* (I) E: corr. Mus. || 2 *ἐκ* pro *ἐς* (II) | *λατάμων* (II) | ad *λατ. τόξα* cf. 8, 10 cum adn. || 3 cf. Pind. fr. 106, 4s Sn.-Maehl. *ἀπ' ἀγλαοκάρπου Σικελίας ὄχημα δαιδαλέον* | *Σικελικὸς* (I): corr. Mus. | *κάλλει – κράτιστος* om. (I) E | *κάλλι* (I) C: corr. Casaub. || post 3 plures versus omissos esse dubitat Bgk. praeeunte Casaub.; lacunam pentametro fr. 4, 5 *ἄγγεα – Ἀσιατογ.* perperam explevit Sitzl. || 4 vid. Test. 20 | cf. Hippocr. Art. 7 *Θεσσαλικὸν ἕδος* | *γυω* (I): corr. Mus. *γύων* mallet Cadiou || 5 *εὐν. . . . λέχ.*] ad abundantiam stili cf. infra v. 10 *ἁρματόεντα δίφρον*, 4, 5 *Λυδὴ . . . Ἀσιατογενής*, 4, 10 *ἀχλὺς ἀμβλωπός*, 8, 1 *μελέων . . . ᾠδάς*, 8, 9 *ἐπ' ἄκραισι . . . ὑψηλαῖς* | suppl. Kal., cf. Anth. P. 11, 363, 2 (Dioscorid.) *λαμπάδι κῦδος ἔχει* ⟨*ἔξοχα*⟩ *κάλλος ἔχει* Mus., prob. Die. *μαλλὸ⟨ν ἄριστον⟩ ἔχει* lusit Edm. *κάλλος ἔχει ⟨παρέχειν⟩* Desr. 'sub *κάλλ(ος)* latere potest *χλαῖναν* = tegumentum' D. ante *κάλλος* crucem statuit West || 6s cf. Test. 16 | cf. Ion. Ch. 7, 1 || 7 de *χρυσότ.* cf. Eur. El. 470; ad composita a Critia adamata cf. Blumenthal 23

καὶ πᾶς χαλκὸς ὅτις κοσμεῖ δόμον ἔν τινι χρείᾳ·
Φοίνικες δ' ηὗρον γράμματ' ἀλεξίλογα,
Θήβη δ' ἁρματόεντα δίφρον συνεπήξατο πρώτη,
φορτηγοὺς δ' ἀκάτους Κᾶρες, ἁλὸς ταμίαι·
τὸν δὲ τροχοῦ γαίας τε καμίνου τ' ἔκγονον ηὗρεν
κλεινότατον κέραμον, χρήσιμον οἰκονόμον,
ἡ τὸ καλὸν Μαραθῶνι καταστήσασα τρόπαιον.

2 (2 D.)

καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω
Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις·
οὐ γάρ πως ἦν τοὔνομ' ἐφαρμόζειν ἐλεγείῳ,
νῦν δ' ἐν ἰαμβείῳ κείσεται οὐκ ἀμέτρως.

9 PHOT. Lex. 1, 99 Theodoridis *ἀλεξίλογα· οὕτω τὰ γράμματα κέκληκε Κριτίας ὁ τύραννος* (= Anecd. Gr. I 382, 19s Bekker) || 2 HEPHAEST. Ench. 2, 3 (*π. συνεκφωνήσεως*) *ἢ δύο βραχεῖαι εἰς μίαν βραχεῖαν, ὅπερ ἐν τοῖς ἄλλοις εὑρίσκεται μέτροις . . . ἐν δὲ τοῖς ἔπεσι σπανίως· ὥστε Κριτίας ἐν τῇ εἰς Ἀλκιβιάδην ἐλεγείᾳ οὐκ ᾤετο ἐγχωρεῖν τοῦ Ἀλκιβιάδου τὸ ὄνομα· φησὶ γάρ·* [1–4]

2 3 *P* 464 *οὐ γάρ πως* al. (Callin. 1, 12 al., in initio versus) | Kaib. Epigr. gr. 616 (*Ταξιάρχης*) *οὐ γὰρ ἐν ἑξαμέτροισιν ἥρμοσε τοὔνομ' ἐμόν*

8 *ὅστις* (I): corr. Mus. || 9 ad *Φοιν. γρ.* cf. Kleingünther 147 | *εὗρον* Bgk., Desr. alii | *ἀλεξίλογα* (I), frustra tentatum (*δεξίλογα* Dobree, *λεξίλογα* Schweigh., *ἀεξίλογα* Mein., alii aliter): ad litteras 'sermoni opitulantes' cf. Aesch. Prom. 460s *γραμμάτων . . . συνθέσεις, μνήμην ἁπάντων, μουσομήτορ' ἐργάνην*, Eustath. in Od. cit., Pfeiffer, History I 24 et Gent., Poesia e pubblico 24s et adn. 70 | *ἀλεξ.* novum || 10 cf. Xenophon. Cyr. 6, 4, 9 *τοῦ ἁρματείου δίφρου* || 11 *ἀλλός* (I) C || 12s ad obscuras verborum ambages et molesta orationis artificia cf. Dion. Chalc. 4, 2 cum adn. || 12 ad inventionem artis figlinae cf. Friedl.-Hoffl. 133 (Naxi, saec. VI) | *τροχοῦ* Casaub. ('non dicit Critias, rotam figulorum ab Atheniensibus esse inventam: verum, artem ipsam fingendi opera figlina; quae eleganter appellatur a poeta, *soboles* (id est, opus) *rotae, terrae et camini*'), probb. Bgk., Defradas alii *τροχὸν* (I), acceperunt edd. plerique | *γαίης* (I) E, retinuerunt Schndw., Desr. alii | *τε γόνον* (I): corr. Mus., cf. 8, 9 *πλάστιγξ θ' ἡ χαλκοῦ θυγάτηρ* et Xenarch. fr. 1, 9s K. *τῆς τροχηλάτου κόρης λοπάδος* || 13 nota homoeoteleuta a Gorgia adamata, cf. 8, 3ss || 14 *ἡ . . . καταστήσασα* (= *Ἀθῆναι*) nova circumscriptio, una ex multis quae in deliciis Critiae (vid. Maykowska 137) et recentioribus scriptoribus (vid. Blumenthal 24 et Schmid, Atticismus III 305) fuerunt | *μαραθῶνος* (I) C *μαρα*[θν] (I) E *μαρα*[θν͂] (I) B (Laur. plut. 60. 1): corr. Mus. || 2 elegia anno 408 videtur esse scripta, cf. Schmid-Staehlin III 173 adn. 4 || 1 *Ἀθηναίου* v. l. || 3 ad hexametrum cum senario coniunctum, quod 'pythiambicae' strophae primum exemplum videtur (cf. D. in R. E. XI 2, 1922, col. 1906), vid. Korzeniewski 40. cf. etiam Soph. 1, Xenophan. 17 cum adn., Nicaenet. Anth. P. 13, 29 et Kaib. Epigr. gr. 211 al. (p. 701 exemplorum Index) | nota *ἐλεγεῖον* de pentametro hic primum dictum

3 (3 D.)

γνώμη δ' ἥ σε κατήγαγ', ἐγὼ ταύτην ἐν ἅπασιν
εἶπον, καὶ γράψας τοὔργον ἔδρασα τόδε.
σφραγὶς δ' ἡμετέρας γλώσσης ἐπὶ τοίσδεσι κεῖται.

4 (4 D.)

καὶ τόδ' ἔθος Σπάρτῃ μελέτημά τε κείμενόν ἐστι,
πίνειν τὴν αὐτὴν οἰνοφόρον κύλικα,
μηδ' ἀποδωρεῖσθαι προπόσεις ὀνομαστὶ λέγοντα,
μηδ' ἐπὶ δεξιτερὰν χεῖρα κύκλῳ θιάσου

*

ἄγγεα Λυδὴ χεὶρηὗρ' Ἀσιατογενής,
καὶ προπόσεις ὀρέγειν ἐπιδέξια καὶ προκαλεῖσθαι

3 Plut. Alcib. 33, 1 [N (UA =) Y] *τὸ μὲν οὖν ψήφισμα τῆς καθόδου πρότερον ἐκεκύρωτο Κριτίου τοῦ Καλλαίσχρου γράψαντος, ὡς αὐτὸς ἐν ταῖς ἐλεγείαις πεποίηκεν, ὑπομιμνήσκων τὸν Ἀλκιβιάδην τῆς χάριτος ἐν τούτοις·* [1–3] || **4** Athen. 10 p. 432d *προπόσεις δὲ τὰς γινομένας ἐν τοῖς συμποσίοις Λακεδαιμονίοις οὐκ ἦν ἔθος ποιεῖν, οὐδὲ φιλοτησίας διὰ τούτων πρὸς ἀλλήλους ποιεῖσθαι. δηλοῖ δὲ ταῦτα Κριτίας ἐν τοῖς ἐλεγείοις·* [A 1–21, CE 1–3 et 7 *φ*–21]. *ἑξῆς τε πάλιν φησίν·* [A 22–27, CE 26 *οὐκ*–27]

3 ad rem cf. J. Hatzfeld, Alcibiade, Paris 1940, 257s || 1 *γνώμην* N, accepit Valck. (nunc etiam Ziegler et West) | *δ'* om. N | *ἥστε* Y || 2 *εἰπὼν* Ziegler || 3 *σφρηγὶς* dub. Bethe ap. D., cf. Theogn. 19s . . . *ἐμοὶ σφρηγὶς ἐπικείσθω τοῖσδ' ἔπεσιν*, Anth. P. 10, 42, 1 *ἀρρήτων ἐπέων γλώσσῃ σφραγὶς ἐπικείσθω* | intellige: 'in his versibus signum (*σφραγίς*) est impressum orationis meae', vid. Miralles 22ss et Tulli 189ss; alii aliter | *ἡμετέρας* Cob. ap. Wil. (in adnn. ad Bergkianam tertiam editionem) *-ης* codd., probb. edd. | *γλώττης* Y, receperunt Die., D. alii | de accentu *τοίσδ.* (scil. *ἔπεσι*) cf. Chantraine, Gramm. Hom. I 276 || **4** titulum *Πολιτεῖαι ἔμμετροι* ex Philopon. (Test. 13) posuerunt D. alii, sed. vid. Bielohlawek 28 adn. 3 et Raoss 129 | ad rem cf. Euen. 2 cum adn. et Test. 28, Plat. Leg. 1 p. 637 ab, Xenoph. Lac. resp. 5, 4, Plut. Sept. sap. conv. 13 p. 156e || 2 *αὐτῷ* Bach *αὐτοῦ* commendat D. *αὐτῶν* Kal. | *οἰνοφ.* novum || 3 *ἀποδωρ. προπ.*] cf. Pind. Ol. 7, 1ss *φιάλαν . . . δωρήσεται* || 4 *κυκλοῦν* Mus. | *Θασίου* (i. e. *οἴνου*) Porson, probb. Schndw., Bach *θίασον* Casaub., alii alia || 5s distichon in *Λυδὴ χεὶρ Ἀσιατ.* desiisse censebat Herm. || 5 post *ἄγγεα* omnia hexametri verba et pentametri sequentis initium intercidisse putavit Bgk.; versum ad lacunam fr. 1, 3–4 transposuit Sitzl.; 'desiderantur infinitivi duo' West *ἄγγε' ἃ* proposuit Dobree, alii alia excogitaverunt *δὴ ταχύχειρ* Bgk. coll. Polluc. II 149 Bethe (Trag. Gr. Fragm. 775, 8 N.[2]). ad abundantiam stili (*Λυδὴ . . . Ἀσιατ.*) et ad hypallagen vid. E. Williger, Sprachliche Untersuchungen zu den Komposita der griech. Dichter des 5. Jahrhunderts, Göttingen 1928, 15 | cf. Aesch. Pers. 12 *ἰσχὺς Ἀσιατογενής* || 6 cf. 4, 3 et 8, 7 | ad *ἐπιδ.* cf. Dion. Ch. 1, 2 cum adn.

ἐξονομακλήδην, ᾧ προπιεῖν ἐθέλει.
εἶτ᾽ ἀπὸ τοιούτων πόσεων γλώσσας τε λύουσιν
εἰς αἰσχροὺς μύθους, σῶμά τ᾽ ἀμαυρότερον
τεύχουσιν· πρὸς δ᾽ ὄμμ᾽ ἀχλὺς ἀμβλωπὸς ἐφίζει,
λῆστις δ᾽ ἐκτήκει μνημοσύνην πραπίδων,
νοῦς δὲ παρέσφαλται. δμῶες δ᾽ ἀκόλαστον ἔχουσιν
ἦθος, ἐπεισπίπτει δ᾽ οἰκοτριβὴς δαπάνη.
οἱ Λακεδαιμονίων δὲ κόροι πίνουσι τοσοῦτον
ὥστε φρέν᾽ εἰς ἱλαρὰν †ἀσπίδα πάντ᾽ ἀπάγειν†
ἔς τε φιλοφροσύνην γλῶσσαν μέτριόν τε γέλωτα.
τοιαύτη δὲ πόσις σώματί τ᾽ ὠφέλιμος
γνώμῃ τε κτήσει τε· καλῶς δ᾽ εἰς ἔργ᾽ Ἀφροδίτης
πρός θ᾽ ὕπνον ἥρμοσται, τὸν καμάτων λιμένα,
πρὸς τὴν τερπνοτάτην τε θεῶν θνητοῖς Ὑγίειαν
καὶ τὴν Εὐσεβίας γείτονα Σωφροσύνην.

*

αἱ γὰρ ὑπὲρ τὸ μέτρον κυλίκων προπόσεις παραχρῆμα
τέρψασαι λυποῦσ᾽ ἐς τὸν ἅπαντα χρόνον.
ἡ Λακεδαιμονίων δὲ δίαιθ᾽ ὁμαλῶς διάκειται,
ἔσθειν καὶ πίνειν σύμμετρα πρὸς τὸ φρονεῖν

4 7 cf. *X* 415 *ἐξονομακλήδην* (*μ* 250 in eadem versus sede) || 12 s Eur. fr. 201, 4 N.[2] *ἀκόλαστον ἦθος* || 18 Hymn. Ven. 1 *ἔργα . . . Ἀφροδίτης* (9) || 25 *ε* 197 *ἔσθειν καὶ πίνειν*

7 *προπολεῖν* A, recepit Schweigh. (deinde etiam P. Maas, Byz. Zeitschr. 35, 1935, 303) | *ἐθέλῃ* Hart., probb. Bgk., Edm. || 8 *τελέουσιν* ACE: corr. Mus. || 8 ss cf. Theogn. 479 ss, Soph. fr. 843 N.[2] etc. || 9 *ἀφαυρότερον* malit West || 10 *τρύχουσιν* Bach, Herm.; nota *τεύχουσιν* traiectionem | cf. *E* 696 *κατὰ δ᾽ ὀφθαλμῶν κέχυτ᾽ ἀχλύς* (*Π* 344), Ps.-Hes. Scut. 264 *πὰρ δ᾽ Ἀχλὺς εἱστήκει* | *ὄμματ᾽* Herm., prob. Kaib. || 11 *λῆσις* CE *λῆσις* (supra: *στις*) A, def. Schweigh. | *τ᾽* pro *δ᾽* Edm. || 14 ss cf. Xenophan. 1, 17 s cum adn. || 15 *ἀσπίδα* AC, deff. Bach alii *ἐλπίδα* Emp., Bgk. alii, crucem statuit West | *πάντ᾽ ἀπάγειν* A, acceperunt priores et West *πάντ᾽ ἀπαγαγεῖν* CE *πάντας ἄγειν* Bgk., probb. edd. plerique | *αἴσιμα πάντ᾽ ἀγαγεῖν* Ebert coll. *ο* 71, *φ* 294, *ψ* 14 ('daß sie alles maßvoll zu [= mit] heiterem Sinn tun') || 17 *τοιαύτη τε* Edm. || 18 cf. Euen. 2, 4 || 20 cf. Ariphron. Sic. 1 *Ὑγίεια, βροτοῖσι πρεσβίστα μακάρων* | *ὑγείαν* codd.: corr. Mus.; ad *Ὑγίειαν* cum *Σωφρ.* coniunctam cf. Eur. fr. 446 N.[2] et Perrotta-Gent. 324 || 21 *Εὐσεβίας* Wil. (in adnn. ad tertiam Bergkianam editionem) *εὐσεβείης* AE *-ίης* C et edd. plerique || post 21 plura deesse putant Bgk. alii, fr. 5 inserendum censet Dieterich ap. D.-K. || 22 s cf. Democr. 68 B 235 D.-K., Antiphont. 87 B 58 D.-K. et Xenophan. 1, 17 cum adn. || 23 cf. Crit. 88 B 27 D.-K. | *ἔπειτα* pro *ἅπαντα* dub. Schndw. || 25 *ἐσθίειν* A: corr. Mus. | *φρονεῖν* Bach *φανέν* A

καὶ τὸ πονεῖν εἶναι δυνατούς· οὐκ ἔστ' ἀπότακτος
ἡμέρα οἰνῶσαι σῶμ' ἀμέτροισι πότοις.

5 (5 D.)

ἦν Λακεδαιμόνιος Χίλων σοφός, ὃς τάδ' ἔλεξε·
μηδὲν ἄγαν· καιρῷ πάντα πρόσεστι καλά.

6 (6 D.)

πλοῦτον μὲν Σκοπαδῶν, μεγαλοφροσύνην δὲ Κίμωνος,
νίκας δ' Ἀρκεσίλα τοῦ Λακεδαιμονίου.

5 Diog. Laert. 1, 41 *διαφωνοῦνται δὲ καὶ αἱ ἀποφάσεις αὐτῶν* (scil. *τῶν ἑπτὰ σοφῶν*) *καὶ ἄλλου ἄλλο φασὶν εἶναι, ὡς ἐκεῖνο·* [1–2] || cf. Schol. Eur. Hipp. 264 (II 38, 16 Schwartz) *τὸ 'μηδὲν ἄγαν' οἱ μὲν Χίλωνι τῷ Λακεδαιμονίῳ ἀνατιθέασιν, ὡς Κριτίας, οἱ δὲ Σωδάμῳ* (I 127 D.[3]) *ὡς τὸ ἐν Τεγέᾳ ἐπίγραμμα δηλοῖ· 'ταῦτ' ἔλεγεν Σώδαμος Ἐπηράτου, ὅς μ' ἀνέθηκεν· μηδὲν ἄγαν, καιρῷ πάντα πρόσεστι καλά'* et ibid. v. 266 (II 39, 11 Schwartz) *Χίλωνος γάρ ἐστι τὸ 'μηδὲν ἄγαν'*. cf. etiam Clem. Alex. Strom. 1, 61, 1 *πάλιν αὖ Χίλωνι τῷ Λακεδαιμονίῳ ἀναφέρουσι τὸ 'μηδὲν ἄγαν'. Στράτων δὲ ἐν τῷ περὶ εὑρημάτων* (fr. 147 Wehrli) *Σωδήμῳ* (*Στρατοδήμῳ* cod.: corr. Wil. Kl. Schr. IV 602) *τῷ Τεγεάτῃ προσάπτει τὸ ἀπόφθεγμα* et Schol. Pind. Pyth. 2, 63 (II 42, 20 Drachm.) *ὅμοιον δὲ τοῦτο τῷ ὑπὸ Χίλωνος ἐν Δελφοῖς ἐγγραφέντι [γνῶθι σαυτόν]* (secl. Drachm.), *ὅ τινές φασι Σωδάμου εἶναι* || 6 Plut. Cim. 10, 5 *ἔτι τοίνυν Γοργίας μὲν ὁ Λεοντῖνός* (82 B 20 D.-K.) *φησι τὸν Κίμωνα τὰ χρήματα κτᾶσθαι μὲν ὡς χρῷτο, χρᾶσθαι δ' ὡς τιμῷτο· Κριτίας δ' ⟨ὁ⟩* (add. Wil.) *τῶν τριάκοντα γενόμενος ἐν ταῖς ἐλεγείαις εὔχεται·* [1–2]. *καίτοι Λίχαν* (Arcesilai filium) *γε τὸν Σπαρτιάτην ἀπ' οὐδενὸς ἄλλου γινώσκομεν ἐν τοῖς Ἕλλησιν ὀνομαστὸν γενόμενον ἢ ὅτι τοὺς ξένους ἐν ταῖς γυμνοπαιδίαις ἐδείπνιζεν· ἡ δὲ Κίμωνος ἀφθονία καὶ τὴν παλαιὰν τῶν Ἀθηναίων φιλοξενίαν καὶ φιλανθρωπίαν ὑπερέβαλεν*

6 2 Friedl.-Hoffl. 113, 2 (Olymp. 464/454) *ἰλήϝωι θυμῶι τοῖ(λ) Λακεδαιμονίοις*

26 'possis *κεἶναι* vel *δυνατούς τ(ε)*' West | *κοὐκ* vel *οὐδ'* dub. Bgk. || 26s *ἀπότακτος ἡμέρα* CE ('jour réservé, désigne les jours de fête consacrés au culte de Dionysos' Defradas) *ἀπόταχτον ἡμέρᾳ* A, acceperunt Mus., D. alii || 27 *οἰνῶσαι* hic solum occurrere videtur activa diathesi || 5 Critiae vindicavit Wil. loc. cit., coll. Schol. Eur. Hipp. 264 || 1 *Χείλων* Hi., prob. D. || 2 cf. Hes. Op. 694 *μέτρα φυλάσσεσθαι· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστον*, Theogn. 401s *μηδὲν ἄγαν σπεύδειν· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστον ἔργμασιν ἀνθρώπων*, id. 335s cum Garzyae adn., Bacch. 14, 16s Sn. *ἐφ' ἑκάστῳ καιρὸς ἔργματι κάλλιστος*, Soph. O. R. 1516 *πάντα γὰρ καιρῷ καλά* etc.; ad rem cf. Peretti, Teognide cit. 280ss et H. J. Mette, *Μηδὲν ἄγαν*, München 1933 || 6 1 ad Scopad. divitias cf. Theocr. 16, 36ss, Plut. Cat. M. 18, 5, De cupid. divit. 8 p. 527c al. | nominativos in accusativos fortasse mutavisse Plutarchum censet West || 2 *ἀγησίλα* codd.: corr. Westermann coll. Paus. 6, 2, 2 *Τισαμένου* (sublato *δ'*) Hart. | Arcesilaum Olympiae curru vicisse primum, ut videtur, a. 448, iterum a. 444 inter omnes constat, cf. L. Moretti, Olympionikai. I vincitori negli antichi agoni Olimpici, nn. 305 et 311

7 (7 D.)

ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί.

ΕΠΗ

8 (8 D.)

τὸν δὲ γυναικείων μελέων πλέξαντά ποτ' ᾠδάς
ἡδὺν Ἀνακρείοντα Τέως εἰς Ἑλλάδ' ἀνῆγεν,
συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,
αὐλῶν ἀντίπαλον, φιλοβάρβιτον, ἡδύν, ἄλυπον.
οὔ ποτέ σου φιλότης γηράσεται οὐδὲ θανεῖται,
ἔστ' ἂν ὕδωρ οἴνῳ συμμειγνύμενον κυλίκεσσιν
παῖς διαπομπεύῃ, προπόσεις ἐπιδέξια νωμῶν,
παννυχίδας θ' ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσιν,
πλάστιγξ θ' ἡ χαλκοῦ θυγάτηρ ἐπ' ἄκραισι καθίζῃ
κοττάβου ὑψηλαῖς κορυφαῖς Βρομίου ψακάδεσσιν.

7 Stob. 3, 29 (*π. φιλοπονίας*), 11, III 629 H. *Κριτίου*· [1] || 8 Athen. 13 p. 600d *ὃν* (i. e. *Ἔρωτα*) *ὁ σοφὸς ὑμνῶν αἰεί ποτε Ἀνακρέων πᾶσίν ἐστιν διὰ στόματος. λέγει οὖν περὶ αὐτοῦ καὶ ὁ κράτιστος Κριτίας τάδε*· [1–10] (in Epit. desunt 1–4)

8 6 Hom. Epigr. 3, 2 *ἔστ' ἂν ὕδωρ* (in eadem hexametri sede)

7 ad rem. cf. Democr. 68 B 242 D.-K. *ἐξ ἀσκήσιος ἀγαθοὶ γίνονται ἢ ἀπὸ φύσιος*, Epich. 23 B 33 D.-K. *ἁ δὲ μελέτα φύσιος ἀγαθᾶς πλέονα δωρεῖται, φίλοι*; vid. F. Hieronymus, *ΜΕΛΕΤΗ*. Übung, Lernen und angrenzende Begriffe, Diss. Basel 1970, 14 et Euen. 9 cum adn. || de pentametro ut monosticho adhibito cf. K. Flower Smith 174 | *ἢ 'κ* Bgk. (et Morel ap. D.-K.) || 8 ad rem cf. Wil., S. u. S. 108s, ad stilum (praesertim ad asyndeton, de quo vid. Test. 34) cf. Blumenthal 23 || 1 *τὸν σὲ* commendat Meineke | ad *γυναικ. μελ.* P. Oxy. 221 col. 7, 5s (= Anacr. fr. 190 Gent.) contulit Bowra, Gr. Lyric Poetry 304 || 2 *ἡδὺν* frustra tentatum (*ἠὺν* Bgk., alii alia) repetitionis vitandae causa (cf. v. 4), def. Wil., l. c. adn. 3, cf. Hermesian. fr. 7, 51 Powell, 2 D.² *ὁ μελιχρὸς . . . Ἀνακρε⟨ί⟩ων* || 3 nota homoeoteleuta a Gorgia adamata (cf. 4, 5 etc.) | cf. Aristoph. Nub. 312 *εὐκελάδων τε χορῶν ἐρεθίσματα* | cf. *E* 349 *γυναῖκας . . . ἠπεροπεύεις*. Anacreontis fr. 98 Gent. (*ἠπεροπός*) videtur meminisse Critias || 3s *ἠπερόπ.* et *φιλοβ.* hapax || 4 *ἀντίπ., φιλοβ.*] nota antithesin | post 4 lacunam statuerunt Hart., Bgk. alii || 5s Hor. C. 4, 9, 9s contulit Morel ap. D.-K., adde Theogn. 251s et Theocr. 12, 11s || 5 *οὔ ποτε τοῦ* Herm. | *γηράσκεται* E | *οὔτε* Die. || 6 *συμμιγν.* E, acceperunt Mus., Bgk. alii || 7 cf. 4, 6 et Dion. Chalc. 1, 2 cum adn. | *διαπομπεύσῃ* Mus. | *πρόποσις* A: corr. Mus. -*σιν* E | *ἐπιδέξια* E, cf. Dion. Chalc. 3, 1 *ἐπιδέξιαν* A *ἐπὶ δεξιὰ* dett., acceperunt Die. alii || 8 cf. v. 1 || 9 cf. 1, 12 *τροχοῦ γαίας τε . . . ἔκγονον* | *πλάστιξ* A | *τε ἡ* A *δ' ἡ* CE | *καθίζει* A -*ξει* E: corr. dett. -*οι* Mus. || 9s *ἄκρ. . . . ὑψηλ.*] nota synonymorum usum || 10 ad *κοττ.* cf. 1, 1 cum adn. || 10s *ὑψηλοῦ* (-*ῇ* Wil., prob. Edm.), *κορ. βρ. ψ.* ⟨*βαλλομένη*⟩ Kaib., Wil.

PIGRES

TESTIMONIA

1 Plut. De Herod. malign. p. 873e–f

τὰ δ' ἐν Σαλαμῖνι διηγούμενος τοσούτους περὶ Ἀρτεμισίας λόγους γέγραφεν, ὅσοις ὅλην τὴν ναυμαχίαν οὐκ ἀπήγγελκε· τέλος δέ, καθημένους ἐν Πλαταιαῖς ἀγνοῆσαι μέχρι τέλους τὸν ἀγῶνα τοὺς Ἕλληνας, ὥσπερ βατραχομυομαχίας (*βατραχομαχίας* codd.: corr. Steph.) *γινομένης, ⟨ἦν⟩* (suppl. Wytt.) *Πίγρης ὁ Ἀρτεμισίας ἐν ἔπεσι παίζων καὶ φλυαρῶν ἔγραψε, σιωπῇ διαγωνίσασθαι συνθεμένων, ἵνα λάθωσι τοὺς ἄλλους, αὐτοὺς δὲ Λακεδαιμονίους ἀνδρείᾳ μὲν οὐδὲν κρείττονας γενέσθαι τῶν βαρβάρων, ἀνόπλοις δὲ καὶ γυμνοῖς μαχομένους κρατῆσαι.*

2 Tzetz. Exeg. in Il. (ap. Hermann, Dracon. Straton. lib. de metris poeticis 37, 2)

βίβλους δὲ ταύτας ἐξεπονήσατο (scil. *Ὅμηρος*), *τήν τε Μυοβατραχομαχίαν, ἥν τινες Τίγρητος εἶναί φασι τοῦ Καρός, καὶ τὸν Μαργίτην, ᾧ ποιήματι οὐκ ἐνέτυχον.* de Suda cf. infra appar. I.

ΠΙΓΡΗΣ

Carius? saec. V exeunt.?

Μῆνιν ἄειδε, θεά, Πηληιάδεω Ἀχιλῆος,
Μοῦσα, σὺ γὰρ πάσης πείρατ' ἔχεις σοφίης.

Suda s. v. *Πίγρης* (IV 127, 24 Adler) *Κὰρ ἀπὸ Ἁλικαρνασοῦ, ἀδελφὸς Ἀρτεμισίας, τῆς ἐν τοῖς πολέμοις διαφανοῦς, Μαυσώλου γυναικός· ὃς τῇ Ἰλιάδι παρενέβαλε κατὰ στίχον ἐλεγεῖον, οὕτω γράψας·* [1–2]. *ἔγραψε καὶ τὸν εἰς Ὅμηρον ἀναφερόμενον Μαργίτην καὶ Βατραχομυομαχίαν.* cf. Eudoc. Viol. 358 (597 s Flach)

2 cf. *γ* 433 *πείρατα τέχνης*, Pind. Epigr. 429, 2 P. *μέτρον ἔχων σοφίης* (in eadem pentametri sede), Choeril. Sam. fr. 1, 3 Kink. (*ἔχουσι δὲ*) *πείρατα τέχναι* et Sol. 20, 2 cum adn.

EVENVS

TESTIMONIA VITAE ATQVE ARTIS

Chronographia

1 Hieronym. Chron. Ol. 80, 1 (111, 12 Helm)

Euenus poeta claruit. *cf. Euseb. Chron. ex vers. armen.* (*192 Karst*) Euenus war als Dichter mit Messungen der Worte gekannt.

2 Ps. Censorin. De mus. (71, 8ss Sallmann)

prior est musica inventione metrica; cum sint enim antiquissimi poetarum Homerus Hesiodus Pisander, hos secuti elegiarii Callinus (*Test. 4*) Mimnermus (*Test. 17*) Euenus ...

3 Georg. Syncell. Chronogr. 254c (305, 19 Mosshammer)

Εὐήνιος ἐλεγείας ποιητὴς ἐγνωρίζετο. cf. Test. 1.

De duobus Euenis

4 Epict. Diatr. 4, 9, 6s

καί τί, φησίν, ἀπολλύω; — Ἄνθρωπε, ὑπῆρχες αἰδήμων καὶ νῦν οὐκέτι εἶ· οὐδὲν ἀπολώλεκας; ἀντὶ Χρυσίππου καὶ Ζήνωνος Ἀριστείδην ἀναγιγνώσκεις καὶ Εὐηνόν (inter *Εὔηνος* et *Εὐηνός* fluctuant codd. veterum scriptorum; *Εὔβιον* Wil.)· *οὐδὲν ἀπολώλεκας*; cf. Schol. ad l. (Arethae esse contendit Raderm.), ubi ad Aristidem et Euenum sophistas referri videtur.

5 Harpocr. Lex. s. v. *Εὔηνος* (139, 15 Dind.)

Ὑπερείδης ἐν τῷ κατ' Αὐτοκλέους (fr. 58 Blass). *δύο ἀναγράφουσιν Εὐήνους ἐλεγείων ποιητὰς ὁμωνύμους ἀλλήλοις, καθάπερ Ἐρατοσθένης ἐν τῷ Περὶ χρονογραφιῶν* (FGrHist 241 F 3), *ἀμφοτέρους λέγων Παρίους εἶναι· γνωρίζεσθαι δέ φησι τὸν νεώτερον μόνον. μέμνηται δὲ θατέρου αὐτῶν καὶ Πλάτων* (vid. Test. 10–13).

6 Suda s. v. *Εὔηνος* (II 449, 4 Adler)

δύο ἀναγράφουσι γεγράφθαι ἐλεγείων ποιητάς, καὶ ἀμφοτέρους Παρίους. cf. Test. 5. de duorum Euenorum quaestione vid. Garzya 75ss.

Vita et opera

7 Artemid. Onir. 1, 4

τὸ ζῷον τὸ καλούμενον κάμηλος μέσους κάμπτει τοὺς μηροὺς ὑποτεμνόμενον τοῖν σκελοῖν τὸ ὕψος, ἐτύμως κεκλημένον κάμηλος οἱονεὶ κάμμηρος, ὥς φησιν Εὔηνος ἐν τοῖς εἰς Εὔνομον Ἐρωτικοῖς.

8 Maxim. Tyr. 38, 4 (441 Hobein)

καὶ οὐδὲ αὕτη σοι (scil. *ἡ Ἀσπασία τῷ Σωκράτει*) *ἀρκεῖ διδάσκαλος, ἀλλ' ἐρανίζῃ παρὰ μὲν Διοτίμας τὰ ἐρωτικά, παρὰ δὲ Κόννου τὰ μουσικά, παρὰ δὲ Εὐήνου τὰ ποιητικά, παρὰ δὲ Ἰσχομάχου τὰ γεωργικά, παρά τε Θεοδώρου τὰ γεωμετρικά.*

9 Suda s. v. *Φίλιστος* (IV 726, 26 Adler)

Φίλιστος, Ναυκρατίτης ἢ Συρακούσιος, Ἀρχωνίδου υἱός. μαθητὴς δὲ ἦν Εὐήνου τοῦ ἐλεγειοποιοῦ.

Ars et veterum indicia

10 Plat. Apol. p. 20ab

(loquitur Socrates) *ἐπεὶ καὶ ἄλλος ἀνήρ ἐστι Πάριος ἐνθάδε σοφός, ὃν ἐγὼ ᾐσθόμην ἐπιδημοῦντα· . . . 'τίς τῆς τοιαύτης ἀρετῆς, τῆς ἀνθρωπίνης τε καὶ πολιτικῆς, ἐπιστήμων ἐστίν; . . . τίς . . . καὶ ποδαπός, καὶ πόσου διδάσκει;' 'Εὔηνος', ἔφη* (scil. *ὁ Καλλίας*), *'ὦ Σώκρατες, Πάριος, πέντε μνῶν'. καὶ ἐγὼ τὸν Εὔηνον ἐμακάρισα, εἰ ὡς ἀληθῶς ἔχοι ταύτην τὴν τέχνην καὶ οὕτως ἐμμελῶς διδάσκει.*

11 Plat. Phaed. p. 60d

(loquitur Cebes) *περὶ γάρ τοι τῶν ποιημάτων ὧν πεποίηκας ἐντείνας τοὺς τοῦ Αἰσώπου λόγους καὶ τὸ εἰς τὸν Ἀπόλλω προοίμιον καὶ ἄλλοι τινές με ἤδη ἤροντο, ἀτὰρ καὶ Εὔηνος πρῴην, ὅτι ποτὲ διανοηθείς, ἐπειδὴ δεῦρο ἦλθες, ἐποίησας αὐτά, πρότερον οὐδὲν πώποτε ποιήσας. εἰ οὖν τί σοι μέλει τοῦ ἔχειν ἐμὲ Εὐήνῳ ἀποκρίνασθαι ὅταν με αὖθις ἐρωτᾷ – εὖ οἶδα γὰρ ὅτι ἐρήσεται – εἰπὲ τί χρὴ λέγειν. λέγε τοίνυν, ἔφη, αὐτῷ, ὦ Κέβης, τἀληθῆ, ὅτι οὐκ ἐκείνῳ βουλόμενος οὐδὲ τοῖς ποιήμασιν αὐτοῦ ἀντίτεχνος εἶναι ἐποίησα ταῦτα.* cf. Socrat. Test. 1.

12 Plat. Phaed. p. 61b

(loquitur Socrates) *ταῦτα οὖν, ὦ Κέβης, Εὐήνῳ φράζε, καὶ ἐρρῶσθαι*

καί, ἂν σωφρονῇ, ἐμὲ διώκειν ὡς τάχιστα. ἄπειμι δέ, ὡς ἔοικε, τήμερον· κελεύουσι γὰρ Ἀθηναῖοι. καὶ ὁ Σιμμίας, Οἷον παρακελεύῃ, ἔφη, τοῦτο, ὦ Σώκρατες, Εὐήνῳ. πολλὰ γὰρ ἤδη ἐντετύχηκα τῷ ἀνδρί· σχεδὸν οὖν ἐξ ὧν ἐγὼ ᾔσθημαι, οὐδ' ὁπωστιοῦν σοι ἑκὼν εἶναι πείσεται. Τί δέ; ἦ δ' ὅς, οὐ φιλόσοφος Εὔηνος; Ἔμοιγε δοκεῖ, ἔφη ὁ Σιμμίας. Ἐθελήσει τοίνυν καὶ Εὔηνος καὶ πᾶς ὅτῳ ἀξίως τούτου τοῦ πράγματος μέτεστιν. οὐ μέντοι ἴσως βιάσεται αὑτόν· οὐ γάρ φασι θεμιτὸν εἶναι.

13 Plat. Phaedr. p. 267a

(loquitur Socrates) *τί μήν; καὶ ἔλεγχόν γε καὶ ἐπεξέλεγχον, ὡς ποιητέον ἐν κατηγορίᾳ τε καὶ ἀπολογίᾳ. τὸν δὲ κάλλιστον Πάριον Εὔηνον ἐς μέσον οὐκ ἄγομεν; ὃς ὑποδήλωσίν τε πρῶτος ηὗρεν καὶ παρεπαίνους — οἱ δ' αὐτὸν καὶ παραψόγους φασὶν ἐν μέτρῳ λέγειν, μνήμης χάριν —· σοφὸς γὰρ ἀνήρ.* cf. Hermias ad l. (238, 5 Couvreur) *παρεπαίνους δὲ λέγει* (scil. *ὁ Εὔηνος*) *ἵνα ἄντικρυς μὴ ἐπαινῇ, δοκῇ δὲ ἐπαινεῖν, ὁμοίως δὲ καὶ ψέγειν*, ubi laudem vel reprehensionem intellige, ut ita dicamus, obliquam, quae sententiis vel exemplis fictis vel artificio personae loquentis efficitur, ut in Archilochi, Simonidis (vid. praesertim fr. 542 P.), Timocreontis (fr. 727, 4 P.), Pindari carminibus haud raro invenimus: cf. Gent., Poesia e pubblico 145s.

14 Quint. 1, 10, 17

transeamus igitur id quoque, quod grammatice quondam ac musice iunctae fuerunt, si quidem Archytas atque Euenus etiam subiectam grammaticen musicae putaverunt, et eosdem utriusque rei praeceptores fuisse cum Sophron (*fr. 155 Kaib.*) ostendit ... tum Eupolis (*frr. 17. 193 K.*) ...

15 Auson. Cento nupt. 10 p. 168s Prete

'lasciva est nobis pagina, vita proba', ut Martialis dicit (*1, 4, 8*) ... nam quid Anniani Fescenninos, quid antiquissimi poetae Laevii Erotopaegnion libros loquar? quid Euenum, quem Menander sapientem vocavit (*fr. 848 Körte*)? quid ipsum Menandrum? quid comicos omnes? quibus severa vita est et laeta materia.

Ad Euenorum aliorum epigrammata cf. Gow—Page, The Garland of Philip II 289.

ΕΥΗΝΟΣ

Parius — saec. V–IV (init.)

ΕΛΕΓΕΙΑ

1 (1 D.)

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,
ὀρθῶς δ' ἀντιλέγειν, οὐκέτι τοῦτ' ἐν ἔθει·
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός,
'σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε'.
τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥᾷστης εἰσὶ διδασκαλίης.

2 (2 D.)

Βάκχου μέτρον ἄριστον, ὃ μὴ πολὺ μηδ' ἐλάχιστον·
ἔστι γὰρ ἢ λύπης αἴτιος ἢ μανίης.

1 (I) Athen. 9 p. 367de *σιωπῶντος οὖν τοῦ Οὐλπιανοῦ 'ἀλλ' ἐγώ' φησιν ὁ Λεωνίδης 'εἰπεῖν εἰμι δίκαιος, πολλὰ ἤδη σιωπήσας· πολλοῖς δ' ἀντιλέγειν, κατὰ τὸν Πάριον Εὔηνον, ἔθος' κτλ.* [A 1–6, deest Epit.] || (II) Stob. 2, 2 (*εἰς τὸ ἐναντίον*), 10, II 22 W. [AST] *Εὐήνου·* [1–4] || (III) Athen. 10 p. 429f *τούτοις εἴ τις ἀντιλέγειν ἔχει, παρίτω· ἀκούσεται γὰρ κατὰ τὸν Εὔηνον·* [4] || 2 (I) Anth. P. 11, 49 *Εὐήνου* (*Εὐίνου* codd.: corr. Jacobs)· [1–6] || (II) Anth. Pl. 2b 22, 16, 1–6 sine poetae nomine

1 4 Eur. Suppl. 466 *σοὶ μὲν δοκείτω ταῦτ', ἐμοὶ δὲ τἀντία* (Soph. Ai. 1038s, Eur. Alc. 52, Herc. 204s al.) || 6 fr. eleg. adesp. 8 *ὀλίγης ἐστὶ διδασκαλίας* (cf. Lob., Phryn. 469) || 2 1 Hymn. Merc. 573 *γέρας οὐκ ἐλάχιστον*, Euen. 8, 1 *μέρος οὐκ ἐλάχιστον* (in fine versus)

1 Eueno epigrammatistae tribuit Jacobs || 1ss prosam sapiunt, ut est recentioris elegiae (de Euen. cf. Wil., Ar. u. Ath. II 404 adn. 2) || 1 ad *ἀντιλέγ.* in arte disputandi (*τέχνη ἐριστικῶν*) adhibitum cf. Aristoph. Nub. 938, H. Gomperz, Sophistik u. Rhetorik 129ss et Garzya 83 adn. 24 | *δ'* post *πολλοῖς* add. (I) | *μὲν* om. (I) || 2 *τοῦτο ἐθέλει* (I) || 3 *τούτοις* (I) | *ὡς* pro *εἷς* (II) | *ἀπαλαιός* pro *ὁ π.* (II) A || 3s cf. Radermacher, Art. script. 128 || 4 *μέντοι αὐτά* (I) | *δοκοῦντά πως* Mus. | *ἐστίν* (II) *ἔστ'* (III) || 5 'hexameter ... der den zweiten preis der abscheulichkeit in der wirklich griechischen poesie beansprucht' Wil. || 6 *ῥήστης* West | *διδασκαλίης* Jacobs, Bach alii, quod est praeferendum ob consonantiam cum *ῥᾴστης*, cf. 2, 2 *-ας* (I), retinuerunt D. alii || 2 Eueni epigrammatistae esse censuerunt Jacobs, Reitz., Gow–Page (The Garland of Philip I 258) alii | ad rem cf. Panyass. fr. 13 Kink., Eubul. fr. 94 K., Hor. C. 3, 21, 1ss al.; vid. etiam ad Crit. 4 cum adn. || 1s cf. Theogn. 211s, 479ss, 509s || 2 cf. Stob. 3, 18, 23ss | *μανίας* dub. Bgk., sed *-ης* consonat cum *λύπης*, cf. 1, 6

χαίρει κιρνάμενος δὲ τρισὶν Νύμφαισι τέταρτος·
τῆμος καὶ θαλάμοις ἐστὶν ἑτοιμότατος·
εἰ δὲ πολὺς πνεύσειεν, ἀπέστραπται μὲν ἔρωτας,
βαπτίζει δ' ὕπνῳ, γείτονι τοῦ θανάτου.

3 (4 D.)

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν μάλα σύμφορόν ἐστι,
χωρὶς δὲ βλαβερὰ καὶ κακότητα φέρει.

4 (5 D.)

πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψεν

3 Stob. 4, 10 (*ἔπαινος τόλμης*), 5, IV 328 H. (SMA) *Εὐήνου*' [1–2] || **4** (I) Stob. 3, 20 (*π. ὀργῆς*), 2, III 539 H. [SMA] *Εὐήνου·* [1–2] || (II) Maxim. Conf. II 593s (PG 91, 840s) *ὁ θυμός ἐστι πάθος, θηριῶδες μὲν τῇ διαθέσει, συνεχὲς τῇ θλίψει, σκληρὸν δὲ καὶ βίαιον τῇ δυνάμει, φόνου αἴτιον, συμφορᾶς σύμμαχον, βλάβης συνεργὸν καὶ ἀτιμίας, καὶ χρημάτων ἀπώλεια· ἔτι δὲ καὶ φθορᾶς ἀρχηγόν· Εὐήνου·* [1–2] || (III) Melissa Augustana (= Cod. Monac.) 34, 24 (cf. Wachsm. Stud. 153)

6 *Ξ* 231 *Ὕπνῳ . . . κασιγνήτῳ Θανάτοιο* (*Π* 672, *ν* 79s, Hes. Theog. 756)

3 cf. Hes. Op. 596 *τρὶς ὕδατος προχέειν, τὸ δὲ τέτρατον ἱέμεν οἴνου*. nota *Νύμφ.* pro lymphis vel aquis, ut saepe ap. Anth. P. scriptores (vid. Pape–Benseler s. v. *Νύμφη*). inter omnes constat et Euenum et alios elegiacos poetas recentioris aetatis, non aliter ac Timotheum (cf. fr. 780, 3s P. *ἀνέμισγε δ' αἷμα Βακχίου νεορρύτοισι δακρύοισι Νυμφᾶν*) et dithyramborum scriptores, audacibus metaphoris, insolitis circumlocutionibus, inaudito verborum lusu libenter usos esse | *χαίρει κιρνάμενος τρισὶ Νύμφαις τέτρατος αὐτός* (II), acceperunt Br., Edm. *χαίρει δὲ τρισὶ κιρνάμενος Νύμφαισι τέταρτος* Jacobs || 4 cf. Ion. Ch. 2, 9s et Crit. 4, 18ss || 4s ad rem cf. D. Micalella, Vino e amore, Antica medicina 20, Quad. Urb. 24, 1977, 153ss; Pretagostini, Quad. Urb. n. s. 10 (39), 1982, 47ss || 5 cf. Demosth. 25, 57 *πολὺς . . . ἔπνει* | *ἀπέστρᾳ* (I) || 6 cf. Heliodor. 4, 17, 3 *μέσαι νύκτες ὕπνῳ τὴν πόλιν ἐβάπτιζον*, Clem. Alex. Paedag. 2, 27, 2 *ὑπὸ μέθης βαπτιζόμενος εἰς ὕπνον*, Aëtius 6, 3 *ὕπνῳ βεβαπτισμένος* | *βαπτίζεται* (II), in *βάπτισθαι* emendaverat Scal. | *τῷ* pro *τοῦ* (I), def. Kal. | cf. Gorg. 82 A 15 D.-K. *ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τἀδελφῷ*, Xenoph. Cyr. 8, 7, 21 *ἐννοήσατε δ', ἔφη, ὅτι ἐγγύτερον μὲν τῶν ἀνθρωπίνων θανάτῳ οὐδέν ἐστιν ὕπνου* al. || **3** Eueno epigrammatistae tribuit Jacobs || 1 *σοφία* (vel *-αι*) M (*-ίῃ* West) *σοφίαν* SA, acceperunt Turn., Sylb. alii (*-ίην* Wint.) | *τόλμην* Bach | *μάλ' ἀσύμφορον* M || 2 subaudiendum esse *σοφία* censet Fraccaroli 281, sed cf. Eur. fr. 732 N.[2] *ῥώμη δέ τ' ἀμαθὴς πολλάκις τίκτει βλάβην*, Thuc. 3, 82 *τόλμα . . . ἀλόγιστος*, Isocr. 1, 6 *ῥώμη δὲ μετὰ μὲν φρονήσεως ὠφέλησεν, ἄνευ δὲ ταύτης πλείω τοὺς ἔχοντας ἔβλαψεν*, Hor. C. 3, 4, 65 *vis consili expers mole ruit sua*; cf. etiam Clem. Alex. Strom. 1, 51, 3 *καὶ 'τὸ ἀγώνισμα' ἡμῶν κατὰ τὸν Λεοντῖνον Γοργίαν* [82 B 8 D.-K.] *'διττῶν ἀρετῶν δεῖται, τόλμης καὶ σοφίας· τόλμης μὲν τὸ κίνδυνον ὑπομεῖναι, σοφίας δὲ τὸ αἴνιγμα* (*πλίγμα* Die.) *γνῶναι'* | *βλαβερὰ* Cr. *-ή* codd., probb. edd. plerique || **4** Eueno epigrammatistae tribuit Jacobs

κρυπτόμενον, μανίας πουλὺ χερειότερον.

5 (6 D.)

ἢ δέος ἢ λύπη παῖς πατρὶ πάντα χρόνον.

6 (7 D.)

ἥτις κερδαίνουσ' οὐδέν, ὅμως ἀδικεῖ.

7 (8 D.)

πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ.

5 (I) PLUT. De amore prolis 4 p. 497a *ὥστ' ἐπαινεῖσθαι καὶ μνημονεύεσθαι τοῦ Εὐήνου τοῦτο μόνον, ὡς ἐπέγραψεν·* [1] || (II) ARTEMID. On. 1, 15 [LV, sine poetae nomine] *παιδία δόξαι ἔχειν ἢ ἰδεῖν παντελῶς βρέφη, ἴδια μὲν τέκνα καὶ ἀνδρὶ καὶ γυναικὶ μοχθηρόν· φροντίδας γὰρ καὶ λύπας σημαίνει καὶ μερίμνας πραγμάτων ἀναγκαίων τινῶν ἕνεκεν, ἐπειδὴ οὐδὲ τὰ βρέφη ἄνευ τούτων ἔστιν ἀναθρέψαι. καί τις καὶ λόγος παλαιὸς ἐπιδείκνυσι τὸ τοιοῦτο· ἔχει δὲ ὧδε·* [1] || (III) HERMIAS in Plat. Phaedr. p. 267a (238, 5 Couvreur) *παρεπαίνους δὲ λέγει* . . . (cf. Test. 10) *θαυμαστὸς δὲ ἐγένετο Εὔηνος, καὶ ἀλλαχοῦ* (Plat. Apol. p. 20b; Phaed. p. 60d) *αὐτὸν ἐπαινεῖ, ὃς καὶ τὸν ἴαμβον* ('iambus' ad rem pertinet, non ad metrum) *τοῦτον εἶπε·* [1]. *τὸ δὲ μνήμης χάριν, ἐπειδὴ τὰ ἔπη τῶν καταλογάδην εὐμνημονευτότερά ἐστιν* || (IV) MACAR. 4, 38 (Paroem. Gr. II 170, 14) [1] || respicit Boeth. Philos. consol. 3, 7, 11 s *nimis e natura dictum est nescio quem filios invenisse tortores* (Weinberger ap. L. Bieler in Boeth. edit., Turnholti 1957, 47) || 6 ARISTOT. De virt. p. 1251a 30 (= Stob. 3, 1, III 145, 13 H.) *ἀδικίας δέ ἐστιν εἴδη τρία, ἀσέβεια πλεονεξία ὕβρις . . . ὕβρις δέ, καθ' ἣν τὰς ἡδονὰς αὐτοῖς παρασκευάζουσιν, εἰς ὄνειδος ἀγαγόντες* (*ἄγοντες* Stob.) *ἑτέρους. ὅθεν καὶ Εὔηνος περὶ αὐτῆς λέγει·* [1] || 7 (I) ARISTOT. Metaph. 4 p. 1015a 28 *τὸ γὰρ βίαιον ἀναγκαῖον λέγεται, διὸ καὶ λυπηρόν, ὥσπερ καὶ Εὔηνός φησι·* [1] || (II) PLUT. Non posse suav. viv. sec. Epic. 21 p. 1102c '*πᾶν . . . ἔφυ*' [1] *κατὰ τὸν Εὔηνον* || (III) THEOGN. 472 [1]. versus redit etiam ap. ARISTOT. Eth. Eud. 2 p. 1223a 31, Rhet. 1 p. 1370a 10 (sine poetae nomine), ASCLEP. in Aristot. Metaph. cit. (VI 312, 31 Hayduck), ALEX. APHROD. in Aristot. Metaph. cit. (I 360, 33 Hayduck), qui duo ultimi Soph. El. 256 citant

4 2 fr. eleg. adesp. 11, 2 *πουλὺ χερειοτέρη* (in pentam. exeunte), *M* 270 *ὅς τε χερειότερος* (in hexam. ineunte)

2 *μανίης* Bach, prob. West | *πολὺ χειρότερον* (I): corr. Turn., probb. plerique, noluerat Fick (sed cf. fr. eleg. adesp. 11, 2) ⟨*οὐ*⟩ *πολὺ χειρ.* Büch., prob. Hense ⟨*γὰρ*⟩ *πολὺ χειρ.* Kal. crucem statuit West, qui ⟨*ἢ*⟩ *πολὺ χειρ.* dubitanter proponit *πολὺ χεῖρον* (II) | ad comp. *χερειότερος* cf. etiam. Mimn. 23, 9 *ἀμεινότερος* et Theogn. 548 *ἀρειότερον* || 5 inscriptionem sepulcralem putaverunt Hecker, Preger alii | Democr. 68 B 275 D.-K., Antiphont. 87 B 49 D.-K. contulit Nestle 581; cf. etiam Soph. Ant. 645ss et Eur. fr. 908 N.[2] | *ἴδε* (vel *ἤδε* vel *ἡ δὲ*) *ὅση λύπη* (I) v. l., correxerat Ast ex Artemidoro | *ἰδέθ' ὅση λύπη* Br.[1], alii alia | *φόβος* pro *ἢ δέος* (III) | *πατέρι* (IV) *πατρὶ* om. (II) L, *περὶ* add. L[3] | *βίον* pro *χρόνον* (III) | de pentametro ut monosticho adhibito cf. K. Flower Smith 174 || 6 *ἥτις*] subaud. *ὕβρις*, cf. Test. Aristotelis || 7 totam elegiam, ex qua v. 472 (vid. supra) extractus est, in Theognidis sylloge (467–496) servatam, Eueno tribuendam frustra contendit Reitz., Epigr. u. Skol. 57s || Eur. fr. 757, 9 N.[2] (= Hyps. fr. 60, 96a Bond) *δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς* contulit Keil, Hermes 23, 1888, 379 adn. 1 | *πρῆγμ'* Wint. *χρῆμ'* (II) | *ἀνιηρόν* (II) v. l., (III), acceperunt Sylb., alii *ὀδυνηρόν* (II) v. l.

Dubium

8 (3 D.)

ἡγοῦμαι σοφίας εἶναι μέρος οὐκ ἐλάχιστον
ὀρθῶς γιγνώσκειν οἷος ἕκαστος ἀνήρ.

ΕΠΗ

9 (9 D.)

φημὶ πολυχρόνιον μελέτην ἔμεναι, φίλε, καὶ δή
ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι.

ΙΑΜΒΟΙ

10 (10 D.)

σοφώτατόν τοι κἀμαθέστατον χρόνος.

8 Stob. 2, 15 (*π. τοῦ δοκεῖν καὶ τοῦ εἶναι κτλ.*) 4, II 186 W. [L] *ἤνου* (rubro colore littera *Z.* praemissa, unde *Ζηνο⟨δότο⟩υ* Gaisf., *Εὐήνου* suppl. Bach, Bgk.) || 9 (I) Aristot. Eth. Nic. 7 p. 1152a 30 *διὰ γὰρ τοῦτο καὶ τὸ ἔθος χαλεπόν, ὅτι τῇ φύσει ἔοικεν, ὥσπερ καὶ Εὔηνος λέγει·* [1–2] || (II) Heliodor. Paraphr. ad Aristot. Eth. Nic. cit. (XIX 2, 154, 5 Heylbut) [1–2] || (III) Anonym. in Aristot. Eth. Nic. cit. (XX 444, 22 Heylbut) *ὥσπερ Εὔηνος ὁ ποιητὴς εἶπεν, ὅτι τὸ ἔθος πολυχρόνιος μελέτη ἐστίν, αὕτη δὲ ἡ μελέτη τελευτῶσα, ἤτοι εἰς τέλος ἐλθοῦσα, φύσις γίνεται* || 10 Simplic. in Aristot. Phys. 4 p. 221a 31 (IX 741, 1 Die.) *ὁ δὲ Σιμωνίδης* (fr. 645 Page) *τὸ σοφώτατον τῷ χρόνῳ περιῆψε· τούτῳ γὰρ ἔφη πάντας εὑρίσκειν καὶ μανθάνειν, ⟨Πάρων δὲ ὁ Πυθαγόρειος ἀμαθέστατον, ὅτι ἐπιλανθάνονται ὑπὸ χρόνου⟩* (e Simplicio infra citato suppl. Die.)*· Εὐηνὸς δὲ ἐξ ἀμφοῖν πεποίηκε τό·* [1]. cf. Simplic. in Aristot. Phys. 4 p. 222b 16 (IX 754, 6 Die.) *εἰκότως οἱ μὲν σοφώτατον οἱ δὲ ἀμαθέστατον λέγουσιν εἶναι τὸν χρόνον. Σιμωνίδης μὲν γὰρ σοφώτατον, ὅτι γίνονται ἐπιστήμονες ὑπὸ χρόνου· Πάρων δὲ ὁ Πυθαγόρειος ἀμαθέστατον, ὅτι ἐπιλανθάνονται ὑπὸ χρόνου. οὗτος δὲ ἔοικεν εἶναι, οὗ καὶ Εὔδημος ἀνωνύμως ἐμνήσθη λέγων* (fr. 90 Wehrli) *ἐν Ὀλυμπίᾳ Σιμωνίδου τὸν χρόνον ἐπαινοῦντος ὡς σοφώτατον, εἴπερ ἐν αὐτῷ αἱ μαθήσεις γίνονται καὶ αἱ ἀναμνήσεις, παρόντα τινὰ τῶν σοφῶν εἰπεῖν· 'τί δέ, ὦ Σιμωνίδη; οὐκ ἐπιλανθανόμεθα μέντοι ἐν τῷ χρόνῳ;' καὶ μήποτε καὶ παρὰ Ἀριστοτέλει ἐν τῷ 'ὁ δὲ Πυθαγόρειος ΠΑΡΩΝ'* (Phys. p. 222 b 18) *τὸ ΠΑΡΩΝ οὐκ εἶναι ὄνομα κύριον ἀλλὰ μετοχήν· παρόντα γὰρ τὸν Πυθαγόρειον τῷ Σιμωνίδῃ λέγοντι, ὅτι σοφώτατος ὁ χρόνος, εἰπεῖν φησιν, ὅτι ἀμαθέστατον.* Thales etiam dicitur *σοφώτατον χρόνος* declarasse: cf. Diog. Laert. 1, 35 et Plut. Sept. sap. conv. 9 p. 153d

8 1 vid. ad 2, 2 || 2 Theogn. 312 *γιγνώσκων ὀργὴν ἥντιν' ἕκαστος ἔχει*

8 1 cf. 2, 1 et Theogn. 214. 898 | *σοφίης* Us., prob. West || 2 *γιν-* Stob., acceperunt Hart., West alii || 9 ad rem cf. Trag. Gr. Adesp. 516 N.[2] *μελέτη χρονισθεῖσ' εἰς φύσιν καθίσταται* et Iulian. Misop. 353a (40, 14 Prato-Micalella cum adn.). cf. etiam Crit. 7 cum adn. || 1 *πολυχρόνιον* (I) (II) (III) *-ίην* Bgk., D. alii | *μεῖναι* pro *ἔμεναι* Fick *τελέθειν* Sitzl. | ad durum hexametri finem cf. Wil., Ar. u. Ath. II 404 adn. 2 || 2 '*εἶναι* v. 2 repetitum . . . vix est offensioni' Cr. || 10 ad rem

11 (10 Bgk.)

Plut. Quaest. Plat. 10 p. 1010c 'τί οὖν;', φήσαι τις ἄν, 'οὐδὲν ταῦτα συμβάλλεται πρὸς λόγον;' ἔγωγε φήσαιμ' ἄν, ὥσπερ ἅλας συμβάλλεσθαι πρὸς ὄψον, ὕδωρ δὲ πρὸς μᾶζαν· Εὔηνος δὲ καὶ τὸ πῦρ ἔφασκεν ἡδυσμάτων εἶναι κράτιστον· ἀλλ' οὔθ' ὕδωρ μάζης ἢ ἄρτου μέρος λέγομεν, οὔτε πῦρ οὔθ' ἅλας ἑψήματος ἢ βρώματος. cf. Plut. Quomodo adul. internosc. 2 p. 50a καὶ καθάπερ ὁ Εὔηνος εἶπε τῶν ἡδυσμάτων τὸ πῦρ εἶναι κράτιστον, οὕτως τῷ βίῳ μίξας τὴν φιλίαν ὁ θεὸς ἅπαντα φαιδρὰ καὶ γλυκέα καὶ προσφιλῆ ταύτης παρούσης καὶ συναπολαυούσης ἐποίησεν et Plut. Quaest. conviv. 7 praef. p. 697cd Εὔηνος μὲν γὰρ ἔλεγεν τὸ πῦρ ἥδιστον ἡδυσμάτων εἶναι, καὶ τὸν ἅλα 'θεῖον' Ὅμηρος (*I* 214) . . . δείπνου δὲ καὶ τραπέζης θειότατον ὡς ἀληθῶς ἥδυσμα φίλος ἐστὶ παρών. cf. etiam Plut. De tuenda san. 8 p. 126cd (= Vors. 84 B 10 D.-K.).

cf. Pind. Ol. 1, 33s et H. Fränkel, Wege 1ss ‖ τε pro τοι Ald. (Venetiis 1526, 175) | κἄμαθ. Die. καὶ ἀμαθ. codd. | χρόνος Die., P. Maas -ον Simpl., receperunt edd. plerique

Eueni scholam respicere videtur (cf. Raderm. 128, 7) Anaximen. Ars rhet. 15 (4 Fuhrmann) οἱ μὲν γὰρ Πάριοι λεγόμενοι σοφισταὶ διὰ τὸ μὴ τεκεῖν αὐτοὶ διὰ ῥαθυμίαν ἄμουσον οὐ στέργουσιν, ἀλλὰ χρήματα λαβόντες ἀποκηρύττουσιν. elegiaco metro fortasse scripta sunt carmina illa amatoria in Eunomum, quorum mentionem facit Artemidorus (Test. 7). in Theognideis insignes Eueni elegiarum reliquias agnoverant iam Bgk. aliique viri docti; nunc vero vv. 467–496, 667–682, 1345–1350 Bowra, vv. 903–930 Cataudella et van der Valk eidem Eueno tribuerunt; de vv. 479–492 vid. etiam Bielohlawek 26. de omni quaestione, quae tamen difficillime expediri potest, dilucide disserit M. Vetta, Theognis. Elegiarum liber secundus, Romae 1980, 121ss.

SOPHOCLES IVNIOR

Atheniensis saec. V–IV

TESTIMONIA

Suda s. v. *Σοφοκλῆς* (IV 402, 7 Adler)

Ἀρίστωνος, υἱωνὸς δὲ τοῦ προτέρου Σοφοκλέους {*πρεσβυτέρου*} (del. Flach), *Ἀθηναῖος, τραγικός. ἐδίδαξε δὲ δράματα μ', οἱ δέ φασιν ια', νίκας δὲ εἷλεν ζ'. ἔγραψε καὶ ἐλεγείας.*

ANTIMACHVS

Colophonius saec. V–IV

TESTIMONIA VITAE ATQVE OPERIS

Chronographia

1 (4 Wyss) Apollod. FGrHist 244 F 74 ap. Diod. 13, 108, 1

μικρὸν δὲ τῆς εἰρήνης (Peloponn. bell.: 405–404 a. C.) *ὕστερον ἐτελεύτησε Δαρεῖος ὁ τῆς Ἀσίας βασιλεύς, ἄρξας ἔτη ἐννεακαίδεκα, τὴν δ' ἡγεμονίαν διεδέξατο τῶν υἱῶν ὁ πρεσβύτατος Ἀρταξέρξης καὶ ἦρξεν ἔτη τρία πρὸς τοῖς τεσσαράκοντα. καθ' ὃν δὴ χρόνον καὶ Ἀντίμαχον τὸν ποιητὴν Ἀπολλόδωρος ὁ Ἀθηναῖός φησιν ἠνθηκέναι.*

2 (9 Wyss) Suda s. v. *Ἀντίμαχος* (I 237, 29 Adler)

Κολοφώνιος, υἱὸς Ὑπάρχου, γραμματικὸς καὶ ποιητής. τινὲς δὲ καὶ οἰκέτην αὐτὸν ἀνέγραψαν Πανυάσιδος τοῦ ποιητοῦ, πάνυ ψευσάμενοι. ἦν γὰρ αὐτοῦ ἀκουστὴς καὶ Στησιμβρότου (cf. FHG II 52 Müller). *γέγονε δὲ πρὸ Πλάτωνος.*

Vita atque opera

Antimachus et Plato

3 (1 Wyss) Heraclid. Pont. fr. 6 Wehrli ap. Procl. in Plat. Tim. p. 21c (I 90, 20 D.)

1 4 *καθ' ὃν δὴ χρόνον* i. e. 405–404 a. C., cf. Jacoby, Apoll. Chron. 299 || **2** explicavit Wil., Kl. Schr. III 30 adn. 2: 'Als Epiker des Kanons ist Antimachos *οἰκέτης* oder *ἀκουστής* des Panyasis, als Homeriker *ἀκουστής* des Stesimbrotos, und schiesslich *γέγονε πρὸ Πλάτωνος*, dies wegen des Sagenkreises, der aus einer merkwürdigen Erzählung des Herakleides (Procl. zu Tim. = Test. 3) herausgesponnen ist. Das ist alles.' eum secuti sunt Jacoby, Apoll. Chron. 299 adn. 1 et Wyss IIIs, qui praeterea Antimachum Stesimbroti discipulum fuisse negat, sed cf. Pfeiffer, History I 35s || 1 *Ἱππάρχου* suprascr. **M**

εἴπερ γάρ τις ἄλλος καὶ ποιητῶν ἄριστος κριτὴς ὁ Πλάτων, ὡς καὶ Λογγῖνος συνίστησιν· Ἡρακλείδης γοῦν ὁ Ποντικός φησιν, ὅτι τῶν Χοιρίλου τότε εὐδοκιμούντων Πλάτων τὰ Ἀντιμάχου προὐτίμησε καὶ αὐτὸν ἔπεισε τὸν Ἡρακλείδην εἰς Κολοφῶνα ἐλθόντα τὰ ποιήματα συλλέξαι τοῦ ἀνδρός. μάτην οὖν φληναφῶσι Καλλίμαχος (Test. 11) *καὶ Δοῦρις* (FGrHist 76 F 83) *ὡς Πλάτωνος οὐκ ὄντος ἱκανοῦ κρίνειν ποιητάς.*

4 (2 Wyss) Duris ap. Plut. Lys. 18, 8s

πρώτῳ μὲν γάρ, ὡς ἱστορεῖ Δοῦρις (FGrHist 76 F 71), *Ἑλλήνων ἐκείνῳ βωμοὺς αἱ πόλεις ἀνέστησαν ὡς θεῷ καὶ θυσίας ἔθυσαν, εἰς πρῶτον δὲ παιᾶνες ᾔσθησαν . . . Ἀντιμάχου δὲ τοῦ Κολοφωνίου καὶ Νικηράτου τινὸς Ἡρακλεώτου ποιήμασι Λυσάνδρεια διαγωνισαμένων ἐπ' αὐτοῦ, τὸν Νικήρατον ἐστεφάνωσεν* (scil. *ὁ Λύσανδρος*), *ὁ δ' Ἀντίμαχος ἀχθεσθεὶς ἠφάνισε τὸ ποίημα. Πλάτων δὲ νέος ὢν τότε καὶ θαυμάζων τὸν Ἀντίμαχον ἐπὶ τῇ ποιητικῇ, βαρέως φέροντα τὴν ἧτταν ἀνελάμβανε καὶ παρεμυθεῖτο, τοῖς ἀγνοοῦσι κακὸν εἶναι φάμενος τὴν ἄγνοιαν, ὥσπερ τὴν τυφλότητα τοῖς μὴ βλέπουσιν* (FHG II 484 fr. 65 Müller).

5 (3 Wyss) Cic. Brut. 191

nec . . . posset idem Demosthenes dicere quod dixisse Antimachum clarum poetam ferunt. qui cum convocatis auditoribus legeret eis magnum illud quod novistis volumen suum et eum legentem omnes praeter Platonem reliquissent, 'legam' inquit 'nihilo minus; Plato enim mihi unus instar est centum milium.' et recte; poema enim reconditum paucorum approbationem, oratio popularis assensum vulgi debet movere. at si eundem hunc Platonem unum auditorem haberet Demosthenes, cum esset relictus a ceteris, verbum facere non posset.

3 3 *προὐτίμησε*: cf. Test. 4, 7 *θαυμάζων* || **4** 3ss quae narrat Plutarchus e Duride Samio hausta esse recte opinati sunt Müller FHG et Wyss, negat Jacoby coll. Test. 3, 5ss, sed cf. Wyss, Praef. II adn. 1: 'facile . . . fieri potuit, ut Plutarchus malignum Duridis iudicium, quod Proclus paucis refutaturus erat, ne verbo quidem sibi commemorandum existimaret' || 4 ad *Λυσάνδρεια* cf. etiam Hesych. s. v. *Λυσάνδρεια· πανήγυρις, ἀπὸ Λυσάνδρου ὀνομασθεῖσα. ἤγοντο δὲ ἐν αὐτῇ ἀγῶνες καὶ θυσίαι* || **5** cur Plato Antimachum adamaverit recte explicat Jensen 134 ad Test. 12, 1s, cf. etiam Pfeiffer, History I 93 et B. Gentili, E. Pasoli, M. Simonetti, Storia della letteratura latina, Roma – Bari 1976, 119 adn. 2 || 5 *omnium me illum* codd.: corr. Camerarius coll. Ep. ad Att. 2, 5, 1 *Cato ille noster, qui mihi unus est pro centum milibus*

De Lyda

6 (8 Wyss) Clearch. fr. 34 Wehrli ap. Athen. 13 p. 597a

ἐπὶ τούτοις ὁ Μυρτίλος μέλλων σιωπᾶν 'ἀλλὰ μικροῦ', ἔφη, 'ἄνδρες φίλοι, ἐξελαθόμην ὑμῖν εἰπεῖν τήν τε Ἀντιμάχου Λυδήν, προσέτι δὲ καὶ τὴν ὁμώνυμον ταύτης ἑταίραν Λυδὴν ἣν ἠγάπα Λαμύνθιος ὁ Μιλήσιος. ἑκάτερος γὰρ τούτων τῶν ποιητῶν, ὥς φησι Κλέαρχος ἐν τοῖς Ἐρωτικοῖς, τῆς βαρβάρου Λυδῆς εἰς ἐπιθυμίαν καταστὰς ἐποίησεν ὃ μὲν ἐν ἐλεγείοις, ὃ δ' ἐν μέλει τὸ καλούμενον ποίημα Λύδην (quae sequuntur ad Mimnermi Nanno et Hermesianactis Leontium pertinent).

7 (6 Wyss) Hermesian. fr. 7, 41–46 Powell ap. Athen. 13 p. 597b

Λυδῆς δ' Ἀντίμαχος Λυδηΐδος ἐκ μὲν ἔρωτος
πληγεὶς Πακτωλοῦ ῥεῦμ' ἐπέβη ποταμοῦ·
†δαρδανη† δὲ θανοῦσαν ὑπὸ ξηρὴν θέτο γαῖαν
†καλλιων αιζαον διηλθεν† ἀποπρολιπὼν
ἄκρην ἐς Κολοφῶνα, γόων δ' ἐνεπλήσατο βίβλους
ἱράς, ἐκ παντὸς παυσάμενος καμάτου.

8 (7 Wyss) Plut. Cons. ad Ap. 9 p. 106bc

ἐχρήσατο δὲ τῇ τοιαύτῃ ἀγωγῇ (scil. *τῷ παραμυθίῳ*) *καὶ Ἀντίμαχος ὁ ποιητής. ἀποθανούσης γὰρ τῆς γυναικὸς αὐτῷ Λύδης, πρὸς ἣν φιλοστόργως εἶχε, παραμύθιον τῆς λύπης αὐτῷ ἐποίησε τὴν ἐλεγείαν τὴν καλουμένην Λύδην, ἐξαριθμησάμενος τὰς ἡρωικὰς συμφοράς, τοῖς ἀλλοτρίοις κακοῖς ἐλάττω τὴν ἑαυτοῦ ποιῶν λύπην. ὥστε καταφανὲς εἶναι ὅτι ὁ παραμυθούμενος τὸν λελυπημένον καὶ δεικνύων κοινὸν {καὶ} πολλῶν τὸ συμβεβηκὸς καὶ τῶν ἑτέροις συμβεβηκότων ἔλαττον τὴν δόξαν τοῦ λελυπημένου μεθίστησι καὶ τοιαύτην τινὰ ἐμποιεῖ πίστιν αὐτῷ, ὅτι ἔλαττον ἢ ἡλίκον ᾤετο τὸ συμβεβηκός ἐστιν.*

6 5s opinari licet Lydam carmen continuum fuisse versibus elegiacis compositum (cf. etiam Test. 8, 3s *τὴν ἐλεγείαν τὴν καλουμένην Λύδην* et vid. Jacoby, Rh. Mus. 1905, 46–49; Wil., Hellen. Dicht. I 101, Susemihl I 172 et Serrao, Quad. Urb. 1979, 92) et, non aliter ac Hermesianactis Leontium, in plures libros divisum (cf. fr. 1 adn. et vid. Susemihl I 185) ‖ 6 *Λυδήν* codd.; de accentus varietate cf. Gow – Page, The Greek Anthology II 138 ‖ **7** 41 *λυσηΐδος* A: corr. Ruhnken, cf. Test. 9, 1 (Powell) ‖ 42 cf. fr. 25 ‖ 43 *Δαρδανίῃ* Bgk. 175 fort. recte *ἀδρανίῃ* dub. Kaib. *Σαρδιακήν* Mein. *Σαρδιανήν* Herm. ‖ 44 *κλαίων αἰάζων τ'* (*δ'* Casaub.) *ἦλθεν* Ilgen ‖ 44s *κἀλλότριον δάπεδον δ' ἦλθεν ἀποπρολιπὼν / πάτρην* Ebert ‖ 45 *ἄκρον* A: corr. Herm. *ἄκτιον* dub. Kaib. ‖ 46 *ἱεράς* A: corr. Mus. | *παντὸς*] *πολλοῦ* Fuchs, Mus. Helv. 1971, 182 | *πανσόμενος* Fuchs, Mus. Helv. 1970, 179 coll. Soph. El. 231s ‖ **8** 3 *ἐλεγείαν*] cf. Test. 6, 5s adn. ‖ 4 *ἡρωικὰς*] an *ἐρωτικάς*? (Hecker), cf. Athen. 13 p. 597a ubi traditur in tertio Leonti libro catalogus *ἐρωτικῶν* fuisse ‖ 6 *καὶ* del. Wil.

Veterum iudicia

9 (14 Wyss) Asclepiad. Anth. P. 9, 63 (= Gow – Page, The Greek Anthology I 957 ss)

Λυδὴ καὶ γένος εἰμὶ καὶ οὔνομα, τῶν δ' ἀπὸ Κόδρου
σεμνοτέρη πασῶν εἰμὶ δι' Ἀντίμαχον.
τίς γὰρ ἔμ' οὐκ ἤεισε; τίς οὐκ ἀνελέξατο Λυδήν,
τὸ ξυνὸν Μουσῶν γράμμα καὶ Ἀντιμάχου;

10 (15 Wyss) Posidipp. Anth. P. 12, 168 (= Gow – Page, The Greek Anthology I 3086 ss): vid. Mimn. Test. 3

11 (19 Wyss) Callim. fr. 398 Pf. ap. Schol. Dionys. Per. I 317, 21 Bernhardy (= GGM II 427, 5 ss Müller)

ὅτι δὲ διαβέβληται τὸ παχύ, σαφῶς ὁ Καλλίμαχος ἐν τοῖς Ἐπιγράμμασι δηλοῖ· διασύρων γὰρ Ἀντιμάχου τὸ ποίημα τὴν Λύδην ἔφη·
Λύδη καὶ παχὺ γράμμα καὶ οὐ τορόν

12 (16; 17; 18 Wyss) Aristo Chius ap. Philodem. *π. ποιημ.* ε' 14, 29 ss; 15, 29 ss; 17, 10 ss Jensen

col. 14, 29 . . . *καὶ τῶν Ἀν[τιμάχου ἐ]ροῦμέν τιν[α π]αι[δευτικὰς δια]νο[ί]α[ς] πε[ριέχει]ν καὶ μετὰ συγγνώμης τὰ Ὁμήρου καὶ [Ἀρχι]λ[όχ]ο[υ χ]ρηστὰ ποιήματα [λεγ]όντων ἡμῶν, τὰ δὲ σ[οφὰς ἔχοντα καὶ π]αιδευτικὰς ἀναμφιλέκ[τω]ς καί π[ο]υ μᾶλλον, ἴσω[ς δὲ] καὶ κυ[ρ]ίως, ἐκείνων καταχρ[ησ]τικῶς προσ[αγ]ορευομ[έ]νων.* col. 15, 29 (Aristonis sententiam impugnat Philodemus ipse) *καὶ τίς ἂν κα[θ]εστηκὼς π[οι]ήματ' Ἀν[τιμάχου φήσαιε]ν ἰδίω[ς πεποιῆσθαι] κα[ὶ] μετὰ [συγγνώμης εἰρη]μένα πο[ήματα χρηστὰς π]ε[ρ]ιέχ[ει]ν [διανοί]ας;* col. 17, 10 *τέχνην [μ]έντοι τὰ παραπ[λή]σια τοῖς Ἀ[ν]τιμάχο[υ γιν]ώ[σ]κω [τι]νὰς λέγο[ντα]ς. ε[ἰ] δ' ἑτέρο[ι]ς, [ἔστω καὶ τ]αῦτα· πᾶ[σα] γὰρ ἐξουσία, πᾶσιν δὲ λελέχθω· κατὰ τέχνην δὲ τὴν ἐπαιν[ε]τὴν γέγραπται πόλε[ων]*

11 *παχύ* ad magnitudinem et longitudinem carminis spectat, ut *tumidus* ap. Catull. 95, 10 (= Test. 14); de Antimachi verbositate cf. etiam Test. 20, 21, 22. *τορόν* i. e. 'acutum', 'clarum', 'perspicuum', in universum quidquid intellectum et mentem facile penetrat, cf. Aesch. Ag. 616 *τοροῖσιν ἑρμηνεῦσιν* 'clari interpretes', Suppl. 274 *βραχὺς τορός θ' ὁ μῦθος* 'brevis et perspicua oratio', et praesertim Test. 13, 3 *τορὸν οὖας* 'acuta auris', quo Antipater eodem verbo iudicii Callimachei auctoritati contradicit. haud recte 'inelegans' intellegit Pfeiffer, History I 94, qui tamen 136 recte explicat 'not lucid'. ad rem vid. Serrao, Quad. Urb. 1979, 95 ss

αὐτ[οῖς] καὶ τόπων οὕτως εὐαρμόστως ἔ[κφρασις] σὺν τῷ καὶ τὴν τάξι[ν] διαφυλάττειν, ὃ κἂν ὠφέλιμόν τις εἴπειεν.

13 (27 Wyss) Antip. Sid. Anth. P. 7, 409 (= Gow – Page, The Greek Anthology I 638 ss)

ὄβριμον ἀκαμάτου στίχον αἴνεσον Ἀντιμάχοιο,
ἄξιον ἀρχαίων ὀφρύος ἡμιθέων,
Πιερίδων χαλκευτὸν ἐπ' ἄκμοσιν, εἰ τορὸν οὖας
ἔλλαχες, εἰ ζαλοῖς τὰν ἀγέλαστον ὄπα,
εἰ τὰν ἄτριπτον καὶ ἀνέμβατον ἀτραπὸν ἄλλοις
μαίεαι. εἰ δ' ὕμνων σκᾶπτρον Ὅμηρος ἔχει,
καὶ Ζεύς τοι κρέσσων Ἐνοσίχθονος, ἀλλ' Ἐνοσίχθων
τοῦ μὲν ἔφυ μείων, ἀθανάτων δ' ὕπατος·
καὶ ναετὴρ Κολοφῶνος ὑπέζευκται μὲν Ὁμήρῳ,
ἁγεῖται δ' ἄλλων πλάθεος ὑμνοπόλων.

14 (23 Wyss) Catull. 95

Zmyrna mei Cinnae nonam post denique messem
quam coepta est nonamque edita post hiemem,
milia cum interea quingenta Hortensius uno

*

Zmyrna cavas Satrachi penitus mittetur ad undas,
Zmyrnam cana diu saecula pervoluent.
at Volusi annales Paduam morientur ad ipsam
et laxas scombris saepe dabunt tunicas.
parva mei mihi sint cordi monumenta sodalis:
at populus tumido gaudeat Antimacho.

15 (26 Wyss) Prop. 2, 34, 41 – 46

desine et Aeschyleo componere verba coturno,
desine, et ad mollis membra resolve choros.
incipe iam angusto versus includere torno,
inque tuos ignis, dure poeta, veni.
tu non Antimacho, non tutior ibis Homero:
despicit et magnos recta puella deos.

13 1 *ὄβριμον*] cf. Test. 19, 2 *ἰσχύν* || 3 *τορὸν οὖας*] cf. Test. 11 *οὐ τορὸν* cum adn. || **14** 10 *tumido ... Antimacho*] hoc adverso iudicio Thebaidem, insigni longitudine epicum carmen (cf. Test. 21), potius quam Lydam, Catullus damnat pariter atque Annales Volusii supra laudatos. ad *tumido* cf. Test. 11 *παχύ*

16 (24 Wyss) Dion. Hal. De comp. verb. 98, 6ss Us.-Raderm.

ταύτης (scil. *τῆς αὐστηρᾶς*) *τῆς ἁρμονίας πολλοὶ μὲν ἐγένοντο ζηλωταὶ κατά τε ποίησιν καὶ ἱστορίαν καὶ λόγους πολιτικούς, διαφέροντες δὲ τῶν ἄλλων ἐν μὲν ἐπικῇ ποιήσει ὅ τε Κολοφώνιος Ἀντίμαχος καὶ Ἐμπεδοκλῆς ὁ φυσικός, ἐν δὲ μελοποιίᾳ Πίνδαρος, ἐν τραγῳδίᾳ δ' Αἰσχύλος, ἐν ἱστορίᾳ δὲ Θουκυδίδης, ἐν δὲ πολιτικοῖς λόγοις Ἀντιφῶν.*

17 (25 Wyss) Dion. Hal. De imit. 204, 8ss Us.-Raderm.

τῆς μὲν οὖν Ὁμηρικῆς ποιήσεως οὐ μίαν τινὰ τοῦ σώματος μοῖραν, ἀλλ' ἐκτύπωσαι τὸ σύμπαν, καὶ λάβε ζῆλον ἠθῶν τε τῶν ἐκεῖ καὶ παθῶν καὶ μεγέθους, καὶ τῆς οἰκονομίας καὶ τῶν ἄλλων ἀρετῶν ἁπασῶν εἰς ἀληθῆ τὴν παρὰ σοὶ μίμησιν ἠλλαγμένων. τοὺς δ' ἄλλους, ἐν οἷς ⟨ἂν⟩ ἀλλήλων πλέον ἔχωσι, χρὴ μιμεῖσθαι. Ἡσίοδος μὲν γὰρ ἐφρόντισεν ἡδονῆς δι' ὀνομάτων λειότητος καὶ συνθέσεως ἐμμελοῦς. Ἀντίμαχος δὲ εὐτονίας καὶ ἀγωνιστικῆς τραχύτητος καὶ τοῦ συνήθους τῆς ἐξαλλαγῆς. Πανύασις δὲ τάς τε ἀμφοῖν ἀρετὰς εἰσηνέγκατο, καὶ αὐτὸς πραγματείᾳ καὶ τῇ κατ' αὐτὸν οἰκονομίᾳ διήνεγκεν.

18 (28 Wyss) Quint. 10, 1, 52

raro adsurgit Hesiodus magnaque pars eius in nominibus est occupata, tamen utiles circa praecepta sententiae, levitasque verborum et compositionis probabilis, daturque ei palma in illo medio genere dicendi. contra in Antimacho vis et gravitas et minime vulgare eloquendi genus habet laudem. sed quamvis ei secundas fere grammaticorum consensus deferat, et adfectibus et iucunditate et dispositione et omnino arte deficitur, ut plane manifesto appareat quanto sit aliud proximum esse, aliud secundum. Panyasin, ex utroque mixtum, putant in eloquendo neutrius aequare virtutes, alterum tamen ab eo materia, alterum disponendi ratione superari.

19 (29 Wyss) Plut. Timol. 36, 2

καθάπερ γὰρ ἡ μὲν Ἀντιμάχου ποίησις καὶ τὰ Διονυσίου ζῳγραφήματα τῶν Κολοφωνίων, ἰσχὺν ἔχοντα καὶ τόνον, ἐκβεβιασμένοις καὶ καταπόνοις ἔοικε, ταῖς δὲ Νικομάχου γραφαῖς καὶ τοῖς Ὁμήρου στίχοις

16 1 cf. Test. 17, 7 *τραχύτητος* et 18, 4 *gravitas* ‖ **17** 7 *εὐτονίας*] cf. Test. 19, 2 *τόνον* | *τραχύτητος*] cf. Test. 16, 1 *αὐστηρᾶς ἁρμ.* et 18, 4 *gravitas* ‖ **18** 4 gravitas] cf. Test. 16, 1 *αὐστηρᾶς ἁρμ.* et 17, 7 *τραχύτητος* ‖ **19** 2 *ἰσχύν*] cf. Test. 13, 1 *ὄβριμον* | *τόνον*] cf. Test. 17, 7 *εὐτονίας* ‖ 2s *ἐκβεβιασμένοις καὶ καταπόνοις*] cf. Test. 23, 1s *πολὺ τὸ μεμηχανημένον*

μετὰ τῆς ἄλλης δυνάμεως καὶ χάριτος πρόσεστι τὸ δοκεῖν εὐχερῶς καὶ ῥᾳδίως ἀπειργάσθαι, οὕτως παρὰ τὴν Ἐπαμεινώνδου στρατηγίαν καὶ τὴν Ἀγησιλάου, πολυπόνους γενομένας καὶ δυσάγωνας, ἡ Τιμολέοντος ἀντεξεταζομένη καὶ μετὰ τοῦ καλοῦ τὸ ῥᾴδιον ἔχουσα, φαίνεται τοῖς εὖ καὶ δικαίως λογιζομένοις οὐ τύχης ἔργον, ἀλλ' ἀρετῆς εὐτυχούσης.

20 (30 Wyss) Plut. De garrul. 21 p. 513ab

ἔστι τοίνυν τρία γένη τῶν πρὸς τὰς ἐρωτήσεις ἀποκρίσεων, τὸ μὲν ἀναγκαῖον τὸ δὲ φιλάνθρωπον τὸ δὲ περισσόν. οἷον πυθομένου τινὸς εἰ Σωκράτης ἔνδον, ὁ μὲν ὥσπερ ἄκων καὶ ἀπροθύμως ἀποκρίνεται τὸ 'οὐκ ἔνδον', ἐὰν δὲ βούληται λακωνίζειν, καὶ τὸ 'ἔνδον' ἀφελὼν αὐτὴν μόνην φθέγξεται τὴν ἀπόφασιν· . . . ὁ δὲ περιττὸς καὶ ἀδολέσχης, ἄν γε δὴ τύχῃ καὶ τὸν Κολοφώνιον ἀνεγνωκὼς Ἀντίμαχον, 'οὐκ ἔνδον' φησίν 'ἀλλ' ἐπὶ ταῖς τραπέζαις, ξένους ἀναμένων Ἴωνας, ὑπὲρ ὧν αὐτῷ γέγραφεν Ἀλκιβιάδης περὶ Μίλητον ὢν καὶ παρὰ Τισσαφέρνῃ διατρίβων, τῷ τοῦ μεγάλου σατράπῃ βασιλέως, ὃς πάλαι μὲν ἐβοήθει Λακεδαιμονίοις, νῦν δὲ προστίθεται δι' Ἀλκιβιάδην Ἀθηναίοις· ὁ γὰρ Ἀλκιβιάδης ἐπιθυμῶν κατελθεῖν εἰς τὴν πατρίδα τὸν Τισσαφέρνην μετατίθησι'.

21 (12 Wyss) Porphyr. ad Hor. Art. poet. 146 (169 Holder)

'nec reditum Diomedis ab interitu Meleagri'. Antimachus fuit cyclicus poeta. hic adgressus est materiam, quam sic extendit, ut viginti quattuor volumina implerit, antequam septem duces usque ad Thebas perduceret. *cf. Ps.-Acro in Horat. Art. poet. 136. 137. 146 (II 332s Keller) et Schol. rec. B φ Horat. Art. poet. 136 (II 600 Hauthal)*

22 (36 Wyss) Gregor. Naz. Epist. 54 (I 70 Gallay)

τὸ λακωνίζειν οὐ τοῦτό ἐστιν, ὅπερ οἴει, ὀλίγας συλλαβὰς γράφειν, ἀλλὰ περὶ πλείστων ὀλίγας. οὕτως ἐγὼ καὶ βραχυλογώτατον Ὅμηρον λέγω καὶ πολὺν τὸν Ἀντίμαχον. πῶς; τοῖς πράγμασι κρίνων τὸ μῆκος, ἀλλ' οὐ τοῖς γράμμασι.

23 (37 Wyss) Procl. in Plat. Tim. p. 19e (I 64, 20 D.)

καὶ γὰρ εἴ τι τεχνικόν ἐστι παρά τινι τῶν ποιητῶν ὕψος, πολὺ τὸ μεμηχανημένον ἔχει καὶ στομφῶδες, μεταφοραῖς χρώμενον ὡς τὰ πολλά, καθάπερ τὸ Ἀντιμάχειον.

20 5 *περιττὸς καὶ ἀδολέσχης*] cf. Test. 22, 3 *πολὺν τὸν Ἀντίμαχον* || **22** 3 *πολὺν τὸν Ἀντίμαχον*] cf. Test. 20, 5ss et 21 || **23** 2 *μεμηχανημένον*] cf. Test. 19, 2s *ἐκβεβιασμένοις καὶ καταπόνοις*

Fortuna

24 Philodem. De piet. P. Hercul. 1088 II b + 433 II a, 3ss (Coll. Alt. II 87b + 57a), 38; 29 Gomperz + Schober[1]), Boserup 109ss, Henrichs 72s, H. Lloyd-Jones, P. Parsons, Suppl. Hellenisticum fr. 78

[. . . καὶ τὸν] Ἥλιον [καὶ ἄλλους] τινὰς [θεοὺς πολυ]μόχθο[υς πεποιή-]κασι (scil. poetae) . . . sequitur Mimn. fr. 5 . . . *ἐν δὲ τοῖς ὕμ[ν]ọị[ς Ὅ]μηρος [ἡ]μέ[ρας ἀλγ]ῆσ̣αι κ̣[αὶ] νύκ̣[τας ἐ]ννέα [τὴν] Λη[τὼ πρὶν] τ̣εκεῖν φη[σιν. Κ]α̣λλίμαχο[ς δὲ τὰ] παρ' Ἀντιμά[χ̣ῳ με]ταλαβὼν ἔγρ[αψε]ν [. .]ς οὐδὲ πρ . . δ . . . ετο*

25 (24 Wyss) Phot. Bibl. p. 319a 15 (V 156 Henry) = Procl. Chrest. I 2, 15 Severyns

γεγόνασι δὲ τοῦ ἔπους ποιηταὶ κράτιστοι μὲν Ὅμηρος, Ἡσίοδος, Πείσανδρος, Πανύασις, Ἀντίμαχος. διέρχεται δὲ τούτων, ὡς οἷόν τε, καὶ γένος καὶ πατρίδας καί τινας ἐπὶ μέρους πράξεις.

26 (fr. 124 Wyss adn.) Schol. Nicand. Ther. 3

ἔστι δὲ καὶ ὁ Νίκανδρος ζηλωτὴς Ἀντιμάχου, διόπερ πολλαῖς αὐτοῦ λέξεσι κέχρηται, διὸ καὶ ἐν ἐνίοις δωρίζει, ὡς καὶ νῦν ἐν τῷ 'παῶν'· 'πηῶν' γάρ̣ ἐστιν ὅ ἐστι 'συγγενῶν'.

27 (22 Wyss) Dionysius Phaselites ap. Biogr. Gr. 61s Westerm. = Schol. Nicand. Ther. p. 3 Schneid.

Νίκανδρον τὸν ποιητὴν Διονύσιος ὁ Φασηλίτης ἐν τῷ περὶ τῆς Ἀντιμάχου ποιήσεως Αἰτωλὸν εἶναί φησι τὸ γένος· ἐν δὲ τῷ περὶ ποιητῶν ἱερέα φησὶν αὐτὸν τοῦ Κλαρίου Ἀπόλλωνος, ἐκ προγόνων δεξάμενον τὴν ἱερωσύνην.

---

1) Imagines lucis ope expressas paginarum exemplaris Dissertationis Schoberianae, quae ad hoc testimonium pertinent, comiter nobis suppeditavit I. Gallo.

24 1 suppl. Gomperz ‖ 2–4 usque ad *με]ταλαβὼν* suppl. Schober ‖ 2s *ὕμ[ν]ọị[ς Ὅ]μηρος* Gomperz ‖ 4 *τ̣εκεῖν [φησίν·]* Philippson | *Κ]αλλίμαχ-* Gomperz | *κα]ταλαβὼν* Gomperz | *μεταλαμβάνειν* utrum 'imitari' (Henrichs) an 'commutare' (Giangrande) significet non liquet, cum incerta sint quae sequuntur ‖ 5 *ἔγρ[αψε]ν* Gomperz | *[ὥ]ς οὐδὲ [τῆς] Ἥ̣ρ[ας] δ[ιέφυ]γε τὸ [μῖσος]* e. g. Henrichs | *. ετο*: ante *ε* hasta verticalis dextrorsum descendens (Schober)

28 (21 Wyss) Agatharchides Cnidius ap. Phot. Bibl. p. 171a 19ss (III 123 Henry)

εἰσὶν οἵ φασιν αὐτὸν (scil. *Ἀγαθαρχίδην*) *καὶ ἑτέρας συγγεγραφέναι πραγματείας ὧν ἡμεῖς οὐδένα οὐδέπω ἴσμεν. ἐπιτομὴν δὲ αὐτόν φασι τῶν περὶ τῆς ἐρυθρᾶς θαλάσσης ἀναγεγραμμένων ἐν ἑνὶ συντάξαι βιβλίῳ, καὶ μὴν καὶ περὶ Τρωγλοδυτῶν βιβλία ε', ἀλλὰ καὶ ἐπιτομὴν τῆς Ἀντιμάχου Λύδης, καὶ πάλιν ἄλλην ἐπιτομὴν τῶν συγγεγραφότων περὶ συναγωγῆς θαυμασίων ἀνέμων, ἐκλογάς τε ἱστοριῶν αὐτὸν συντάξαι, καὶ περὶ τῆς πρὸς φίλους ὁμιλίας.*

29 (5 Wyss) Ovid. Trist. 1, 6, 1–4

nec tantum Clario est Lyde dilecta poetae,
  nec tantum Coo Bittis amata suo est,
pectoribus quantum tu nostris, uxor, inhaeres,
  digna minus misero, non meliore viro.

30 (31 Wyss) Dio Cass. 69, 4, 6 = Suda s. v. *Ἀδριανός* (I 55, 14ss Adler)

καὶ οὕτω γε τῇ φύσει τοιοῦτος ἦν (scil. *Ἀδριανός*), *ὥστε μὴ μόνον τοῖς ζῶσιν ἀλλὰ καὶ τοῖς τελευτήσασι φθονεῖν· τὸν γοῦν Ὅμηρον καταλύων Ἀντίμαχον ἀντ' αὐτοῦ ἐσῆγεν, οὗ μηδὲ τὸ ὄνομα πολλοὶ πρότερον ἠπίσταντο.*

31 (32 Wyss) SHA Hadr. 16, 1–2

famae celebris Hadrianus tam cupidus fuit, ut libros vitae suae scriptos a se libertis suis litteratis dederit iubens, ut eos suis nominibus publicarent; nam et Phlegontis libri Hadriani esse dicuntur. catacannas libros obscurissimos Antimachum imitando scripsit.

32 (11 Wyss) Solin. 40, 6: vid. Mimn. Test. 8

33 (33 Wyss) Cassius Longin. ap. Suda s. v. *Λογγῖνος* (III 279 Adler)

ὁ Κάσσιος, φιλόσοφος, διδάσκαλος Πορφυρίου τοῦ φιλοσόφου, πολυμαθὴς καὶ κριτικὸς γενόμενος. ἦν δὲ ἐπὶ Αὐρηλιανοῦ τοῦ Καίσαρος, καὶ ἀνῃρέθη ὑπ' αὐτοῦ ὡς σύμπνους Ζηνοβίᾳ τῇ Ὀδηνάθου γυναικί. ἔγραψε . . . λέξεις Ἀντιμάχου καὶ Ἡρακλέωνος.

34 (34 Wyss) Zoticus ap. Porphyr. Vit. Plot. 7

συνῆν δὲ (scil. *Πλωτίνῳ*) *καὶ Ζωτικὸς κριτικός τε καὶ ποιητικός, ὃς καὶ τὰ Ἀντιμάχου διορθωτικὰ πεποίηται καὶ τὸν Ἀτλαντικὸν εἰς ποίησιν μετέβαλε πάνυ ποιητικῶς, συγχυθεὶς δὲ τὰς ὄψεις πρὸ ὀλίγου τῆς Πλωτίνου τελευτῆς ἀπέθανεν.*

35 (35 Wyss) Rufus et Sopater Apam. ap. Phot. Bibl. p. 103a 18ss (II 123 Henry)

ἀνεγνώσθη ἐκλογαὶ διάφοροι ἐν βίβλοις ιβʹ Σωπάτρου σοφιστοῦ. ... ὁ δὲ ἕκτος αὐτῷ συνελέγη λόγος ἔκ τε τῆς αὐτῆς Ῥούφου μουσικῆς βίβλου πέμπτης καὶ τετάρτης. αὐλητῶν δὲ καὶ αὐλημάτων ἀφήγησιν ἔχει, ἄνδρες τε ὅσα ηὔλησαν καὶ δὴ καὶ γυναῖκες. καὶ Ὅμηρος δὲ αὐτῷ καὶ Ἡσίοδος καὶ Ἀντίμαχος οἱ ποιηταὶ τῆς διηγήσεως μέρος καὶ τῶν ἄλλων πλεῖστοι εἰς τοῦτο τὸ γένος τῶν ποιητῶν ἀναγομένων.

36 (40 Wyss) Stob. ap. Phot. Bibl. p. 114b 28ss (II 156–158 Henry)

Antimachus apud Photium in numero habetur eorum poetarum quos laudat Stobaeus (*ὧν χρήσεις τοῖς κεφαλαίοις παρέθηκεν*).

Metrum

37 (10 Wyss) Schol. Bob. in Cic. Pro Arch. 25 (164 Hildebrandt) = Aristot. fr. 676 Rose: vid. Mimn. Test. 18.

ΑΝΤΙΜΑΧΟΣ

Colophonius — saec. V–IV

ΛΥΔΗ

1 (1 D.)

φεύγοντας γαίης ἔκτοθι Δωτιάδος

1 Steph. Byz. 256, 14ss *Δώτιον πόλις Θεσσαλίας, ὅπου μετῴκησαν οἱ Κνίδιοι, ὧν ἡ χώρα Κνιδία. Καλλίμαχος ἐν τοῖς ὕμνοις* (in Cer. 24 Pf.) *'οὔπω τὰν Κνιδίαν, ἔτι Δώτιον ἱρὸν ἔναιον' ... ὁ πολίτης Δωτιεύς ... τὸ θηλυκὸν Δωτηίς ... καὶ Δωτιάς, ὡς Ἰλιάς τοῦ Ἰλιεύς. Σοφοκλῆς ἐν Πηλεῖ* (fr. 492 Radt = 452 N.²) ... *καὶ Ἀπολλώνιος ὁ Ῥόδιος ἐν Ῥόδου κτίσει* (fr. 10 Powell) ... *καὶ Ἀντίμαχος ἐν βʹ Λύδης·* [1]

1 Apoll. Rhod. 1, 243 *γαίης Παναχαΐδος ἔκτοθι*

1 *φεύγοντας*: ad Thessalos sedem in insulam Cnidum transferentes referri putat Stoll; cf. Callim. in Cer. 24ss et Diod. 5, 61, 2

2 (2 D.)

†γενεᾷ† Καβάρνους θῆκεν ἀβακλέας ὀργειῶνας

3 (3 D.)

εἶπε δὲ φωνήσας· 'Πόλυβε, θρεπτήρια τάσδε
ἵππους τοι δώσω δυσμενέων ἐλάσας'.

4 (58 Wyss)

Schol. Apoll. Rhod. 1, 1289–1291 a (116 Wendel) Ἀπολλώνιος μὲν οὖν ἀπολελεῖφθαί φησι τὸν Ἡρακλέα περὶ Κίον ἐκβάντα ἐπὶ τὴν Ὕλα ζήτησιν ... Ἡσίοδος ἐν τῷ Κήυκος γάμῳ (fr. 263 Merk.-West) ἐκβάντα φησὶν αὐτὸν ἐφ' ὕδατος ζήτησιν τῆς Μαγνησίας περὶ τὰς ἀπὸ τῆς ἀφέσεως αὐτοῦ Ἀφετὰς καλουμένας ἀπολειφθῆναι. Ἀντίμαχος δὲ ἐν τῇ Λύδῃ φησὶν ἐκβιβασθέντα τὸν Ἡρακλέα διὰ τὸ καταβαρεῖσθαι τὴν Ἀργὼ ὑπὸ τοῦ ἥρωος. καὶ Ποσείδιππος ὁ ἐπιγραμματογράφος (fr. 4 Schott) ἠκολούθησε καὶ Φερεκύδης (FGrHist 3 F 111 b).

5 (60 Wyss)

